ont mis le pied sur la planche du navire.“ — 24 δὴ om. B. S. — 25 αγωνιδηϲκαιδη.. A pr.; corr. primum N inter Γ et Ω supra versum addidit, deinde singulas litteras omnes punctis notavit. Fortasse v. 24 δηκάι in lacuna exstitit. — 26 τί πρὸϲ ὑμᾶϲ Sch., τί προθήϲει; B., τί πρὸϲ ταῦτα ci. S. — 27 καὶ δεήϲεται μὴ λαμβάνειν δίκην B., ἐξὸν αὐτῷ μὴ λαμβάνειν S[1]. Utrique adversatur interpunctionis signum in A appositum, itaque rectius S: ἐξῆν γὰρ αὐτῷ μ. λ.

Claudit agmen frg. ap. Harp. s. v. παραγραφή, cui certus locus assignari nequit. Explicat Harp.: οὐδὲ μέχρι τινὸϲ ὡριϲμένου χρόνου καὶ παραγεγραμμένου, ὅ ἐϲτι περιγεγραμμένου.

Quindecim papyri fragmina, quae neque per se ipsa sensum aliquem praebent neque cum aliis coniungi poterant, hoc loco subicienda putavi. — Frg. H. XX: | — ντο?πα | — ο.π.. | — α...|. — H. XXIII: (des. vers. — + 3) — ν | — ϲει | — ιαφι | (des. vers. 2 + —) | (des. vers. —) | κακαι? — | απη— | μωι — | ξ — | ο? — | ϵ? — | π? | ψ — | (des. vers. —). — H. XXIV: (des. vers. —) | — ν?ει | — δ?ι?κη | — γονε | — ϲ?αν | — υκατεψη | — ωμενγαρ | — δ?εναννν | — ἀπ]οθνήϲκων | — ηγ?. | (des. vers. —) | (des. vers. — + 1) | ο — | ϵ — | π — | μ — | ω — | π — | οι? — | (des. vers. —). — H. XXIX: — π]ϵπομφα.. |. — H. XXXI: — ϲω —. — H. XXXII: ——. Bb. IV: | —μ?ϵταλ.η? — | — ...ω?.η?..— |. — Bb. VIa: | — α.υ — |. — b: — ....μ?. — | — αλλενπ? — | — .....ν — |. — c: — δεıντο |. V. etiam p. 22 adn. v. 3. — E. IV (cf. ad col. XXVIII): | παραϲο. | α?ι?τι.ο?ϲ | . ἐξ Ἀ[ρ]είου | α?ν?..ψη | ..αδ... | ..α?το.. | ρ?οι ι?... | ...τα.ο |. — E. V: | αλλα? ὦ ἄ[νδρεϲ | δ? — | τω — | ν — | θ — |. In sinistra parte columnae tam largum spatium est, ut initium orationis his verbis contineri suspicer. — E. VI: — α?ϵ | — γον | — υ?τ |. — E. X: κυ. — E. XI: π?ιω̄?. — Quam farraginem omnem in praesenti sane inutilem, sed de qua nondum desperandum esse putem, sagacioribus felicioribusque diligenter commendo.

# II.

## [ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΛΥΚΟΦΡΟΝΟC.]

### Frg. I.

XXXIV (XXXI S.) | τῇ κατηγορίᾳ χρῆcθαι, — οὕτω καὶ ἐμὲ ἐᾶτε ὃν τρόπον προήρημαι καὶ ὡc ἂν δύνωμαι ἀπολογεῖcθαι· — καὶ μηδεὶc ὑμῶν ἀπαντάτω μοι μεταξὺ λέγοντι· — τί τοῦθ' ἡμῖν λέγειc; μηδὲ προcτίθετε τῇ κατ[ηγορίᾳ παρ' ὑμῶν αὐτῶν μηδέν, ἀλλὰ μᾶ]λλον τῇ ἀπολογίᾳ· ...εν.....κ.... (desunt vers. XIV?) |

### Frg. II.

XXX[…] (XXXII[…]) | (desunt vers. X?) .....ὁ νόμοc c[υ]γκατηγο]ρεῖ(ν) μὲν τῷ βουλομ]ένῳ κατὰ τῶν κριν]ομένων ἐξουcίαν] δίδωcι, cυναπολογεῖcθαι δὲ κωλύει. — ἵνα δὲ μὴ π[ρ]ὸ τοῦ πράγματοc πο[λλοὺc

---

Inscriptio hoc loco depérdita in fine orationis legitur.

Fr. I (H. IX). Ex anteriore col. haec servata sunt: (des. vers. V | — — ω | — — νεν | (desunt v. —) | — Sensum S. ita explet: ὥcπερ καὶ τοῖc ἀντιδίκοιc ἐπετρέψατε ὡc ἐβούλοντο] τῇ κ. χρ. — 2 ουτωι A. — 4 ηρημαι A. — 6 ὑμῶν compendio scriptum. — 9 υμιν A pr. — 13 απολογια A in fine versus.

Fr. II est Harrisianum XIII, quocum coniunxerunt S. et Bb. parvum frg. XXVIII, sexti versus quattuor septimique duas primas litteras continens. — 1 Negationem praecessisse certum est. — cυγκατηγορεῖν S., ε[ἰc τ]ὸ κατηγορεῖν B.; cυνκατηγορει A habuit. — 5 sq. | λογειτθαι ut videtur A. cυναπολ. S., ἐ]ὰν ἀπολ. B.

λόγους ἀναλ[ίσκω,
ἐπ' αὐτὴν τὴν [ἀπολο-
γ]ίαν πορεύσομα[ι,
τοῖς μὲν θεοῖς εὐ-
ξάμενος βοηθῆ-
σαί μοι καὶ σῶσαι ἐ[κ τοῦ
παρόντος ἀγῶνος,
ὑμᾶς δὲ ὦ ἄνδρες δι-
κασταὶ ἐκεῖνο πα[ρ]αι-
τη]σάμενος πρῶ[το]ν |

[Ἢ νεωρίων προδοσίαν ἢ ἀρχείων ἐμπυρισμὸν ἢ κατάληψιν ἄκρας]

**Frg. III.**

XXXVI. (desunt vers. XV?)
............ ὁ Εὔ-
φημος].....ωτον
........ἐπε]ιδὴ ἐτε-
λεύτησεν ἐκ]εῖνος
.........ρος ὁ Φλυ-
εὺς]......ε.αὐτοῦ
........ο αν τοῦ

.........καὶ ἠξί-
ου]..........ννο
............εθετ
..........λειν
............ε
...........ατο |
(desunt v. XIII?)....[τοὺς XXXVII (XXXIII S.)
ἐγγυ]τάτω γένου[ς
εἴρ]γειν τὸν Εὔφ[η-
μον, ἀλλ' ἐᾶν. — νῦ[ν
δὲ τοῦτο ποιήσα[ν-
τες ἔργῳ μεμαρτυ-
ρήκασιν αὐτοὶ ὡς ψευ-
δής ἐστιν ἡ αἰτία κα-
τ' ἐμοῦ. — πρὸς δὲ τού-
τοις πῶς οὐκ ἄτοπον, —
εἰ μέν τι ἔπαθεν
τὸ παιδίον ἢ γιγνό-
μενον ἢ καὶ ὕστε-
ρον, ταύταις ταῖς δια-
θήκαις ἰσχυρίζεσθαι
ἂν αὐτούς, ἐν αἷς ὑ- |
(desunt vers. XX?)
ν.............

---

9 ἀναλ[ώσω Bb. — 18 | ..σομενος A pr. — De sequenti col. haec leguntur: — — | ε — — | δ — — | κ — — | π? — — | αυ — — | κρο — — |.

Post fr. II inserui frg. servatum a Polluce (IX, 156; cf. B. A. 97, 12; Phryn. epit. p. 335 Lob.), quod sane etiam ante II vel adeo I locum habuisse potest, cf. initium Euxenippeae. Nempe εἰσαγγελίαν suae causae minime convenire orator exponit. Ceterum Pollux: ἐν μέντοι τῷ Υ. ὑπ. Λ. εὗρον γεγραμμένον — καὶ οὕτως ἐγέγραπτο ἐν πλείοσι βιβλίοις, et Phryn.: ἐμπυρ.· οὕτως Υ. ἠμελημένως, δέον ἐμπρησμός λέγειν.

Frg. III (XVII H.). Col. 32. 3—5 dedi ex restit. S. — Col. 33. 1 τατωιγενου A.; ἐγγυτάτω γένους B. S. — 2 ἀπάγειν B.; εἴργειν S. — Praecessit οὐκ ἐχρῆν vel simile quid. — 5 εργω A. — 15 ειναισυ A pr., primum I a correctore transfixum. εἶναι συ — S[1]; ἐν αἷς ὑ — B. S.

τὸν Ͼὔφη[μον.....
κωλυε.ε......... —
τον........[παρέ-
χοντα.....[μαρ-
τυρίαϲ α........
τερω...........
ϲκε.........|

[Οὔτε γὰρ τὴν ἑαυτοῦ χεῖ-
ρα δυνατὸν ἀρνήϲαϲθαι.]

[Νωθρεύεϲθαι]

Pap. Ardenianus. Col. II. — — — Ἀρί-|
ϲτωνοϲ δὲ ἀν[δρά-
ποδα εἶχεν ἐν το[ῖϲ
ἔργοιϲ· καὶ ταῦ[τ]α α[ὐ-
τὸϲ ὑμῖν ἐμαρτύ[ρη-
ϲεν ἐπὶ τοῦ δικαϲ[τη-
ρίου, ὅτ' ἦν το[ύτ]ῳ
ὁ ἀγὼν πρὸϲ [Ἀρχε-
ϲτρατίδην. τοιο[ῦτο
γάρ ἐϲτι τὸ Ἀρίϲτ[ωνοϲ
τουτουῒ πρᾶγμα· — [αὐ-
τὸϲ προϲκαλ[εῖ]τα[ι
μὲν περιιὼν π[άν-
ταϲ ἀνθρώπους,
τῶν δ' ὅϲοι μὲν [ἂν
μὴ διδῶϲιν αὐ[τῷ
ἀργύριον, κρίν[ει καὶ
κατηγορεῖ, ὁπ[όϲοι
δ' ἂν ἐθέλωϲιν [ἀπο-
τίνειν, ἀφίηϲιν, [τὸ
δ' ἀργύριον Θεο[μνή-
ϲτῳ δίδωϲιν· — ἐκ[εῖ-

---

Col. 34. 5 μαρτυρίαϲ B.; id. v. 6 sq. ἐγγυ]τέρω [γένουϲ.

Accedit ex Babingtonianis frg. unum, quod huic orationi vindicandum videtur (I): | — | — ρηται | — ϲ? | — | — ν | des. v. XXIII? | τ— | ε?χ? — | =̄ | βαι?υ? — || ριπ (ριτη?) — | νει?ϲ? — | ϲι?μ? — | ʽεμ — | .ειμ — || ρ?αφη — | μ?οιχε (μοιχεύειν Bb.) — | φ?ομηε — | .λ?εφ — | des. v. XV? |.

Porro a veteribus servata duo, alterum ap. Poll. II, 152 (cf. Bachmann Anecd. I p. 414, 24; Suid. s. v. χεῖρα); alterum (νωθρεύεϲθαι) ap. Poll. IX, 137, qui addit: ὅπερ ἔγωγε οὐ πάνυ ἐπαινῶ.

Ex columna I haec fragmenta verborum servata sunt: | — — ντην | — — αερω | — — διατι | — — ααυ || — — ν?ου | — — ιμεν | — — υειϲ | — — ου | — — ναι || — — ουν | — — με | — — εωϲ | — — ηϲ? | — — ε || — — ου | — — ρω̄ | — — α?ε | — — ω?ν | — — ϲ || — — ενοϲ | ʽ— — ιωϲ | — — νη | — — ἄνδ]ρεϲ δι|καϲταί] — υϲιοϲ || — — νφι | — — το | — — οϲ | — — Ἀρί |

Col. II. 6 τούτων Bb. Sw. C.; το..ωι A. — 7 Ἀρχεϲτρ. Bb. — 9 sq. restit. Sw. — 10 τουτουῒ A. — 12 περιων A.; cf. eandem scripturam or. I col. 5, 6. — 19 αφηϲιν A pr. — 20 Θεομνήϲτῳ rest. Sw.

νοϲ δὲ λαμβάνω[ν ἀνδράποδα ἀγοράζει, καὶ παρέχει ὥϲπερ τοῖϲ λῃϲταῖϲ ἐπιϲιτιϲμόν, καὶ δίδωϲι τούτῳ ὑπὲρ ἑκάϲτου τοῦ ἀνδραπό- | III. δου ὀβολὸν τῆϲ ἡμέραϲ, ὅπωϲ ἂν ᾖ ἀθάνατοϲ ϲυκοφάντηϲ. — Ἄξιον δ' ἐϲτὶν, ὦ ἄνδρεϲ δικαϲταὶ, κἀκεῖθεν ἐξετάϲαι τὸ πρᾶγμα ἀφ' ὧν ἐν τῷ δήμῳ τὸ πρῶτον αὐτοὶ εὐθὺϲ ᾐτιάϲαντο. — ἐμοὶ γὰρ (οἱ) οἰκ[εῖ]οι ἀπέϲτειλαν γράψα[ντ]εϲ τήν τε εἰϲαγγελίαν καὶ τὰϲ αἰτίαϲ ἃϲ ἐν τῇ ἐκκληϲίᾳ ᾐτιάϲαντό με, ὅτε τὴν εἰϲαγγελί[αν] ἐδίδοϲ[α]ν, ἐν α[ἷϲ ἦ]ν γεγρα[μ]μένον ὅτι Λυκο[ῦργ]οϲ λέγ[ει], φάϲκω[ν ἐκ τῶ]ν οἰκ[είω]ν ἀκ[ηκοέ]ναι, ὥ]ϲ ἐγὼ παρακολουθῶν, ὅτε Χάριπποϲ ἐγάμει τὴν γυναῖκα, παρεκελευόμην αὐτῇ ὅπωϲ μὴ *πληϲιάϲει Χαρίππῳ, ἀλλὰ διαφυλάξει αὐτήν. — ἐ]γὼ [δ]ὲ ἃ καὶ πρὸϲ τοὺϲ | IV. ἐπιτηδείου[ϲ καὶ πρὸϲ τοὺϲ ο[ἰκείουϲ τοὺϲ ἐμαυτ[οῦ εὐθὺϲ ἥκων ἔλεγ[ον, κα]ὶ νῦν πρὸϲ ὑμ[ᾶϲ ἐ]ρῶ, — ὅτι, εἰ ἔϲτιν τ[αῦτ]α ἀληθῆ, ὁμολ[ογ]ῶ καὶ τἄλλα πάν[τα πεποιηκέναι τὰ [ἐν τῇ εἰϲαγγελίᾳ γε[γραμμένα· — ὅτι δὲ [ψευδῆ ἐϲτιν, ῥᾴδιον [οἶμαι εἶναι ἅπαϲι[ν ἰδεῖν· — τίϲ γὰρ οὕτω[ϲ ἐϲτὶ τῶν ἐν τῇ π[όλει ἀλόγιϲτοϲ, ὅϲ[τιϲ ἂν πιϲτεύϲαι το[ιούτοιϲ λόγοιϲ; — ἀνάγ[κη γάρ, ὦ ἄνδρεϲ δικ[αϲταί,

Col. III. 2 η A. — 9 ητιαϲαντο A. — 10 οἱ add. Sw. al. — num ἐπέϲτειλαν? — 14 iota mutum ubique in A omissum. — 25 sq. πλεοναϲη A pr.; πληϲιαϲη A corr. Coniunctivum tuentur B. JBL. C.; πληϲιάϲει Sw. K. — 28 ε]γω[δ]εκαι A pr.

Col. IV. 3 ἐμαυτ[οῦ τότε | Bb. C., καθ|ήκων ci. Sw.; at non ita librarius syllabas dirimit. — 5 ἐ]ρῶ Bb., qui ρω dignosci affirmat; Sw. in add. λέ]γω reponit, sed Sw.[1] ut Bb. — 7 ομολ[ογ]ωι A. — 10 ειϲαγγελια A. — 11 ψευδῆ Sw. in scholiis. — 12 [νομίζω] Bb.; οἶμαι C. propter spatium. — 13 [δηλῶϲαι] Bb.; γνῶναι Patakis ap. Sw.[1]; ἰδεῖν C. — 15—19 rest. Bb. —

πρῶτον μὲν [ὀρε-ωκόμον καὶ π[ροη-γητὴν ἀκολουθε[ῖν τῷ ζεύγει, ὃ ἦγεν τὴν γυναῖκα, |

V. ἔπ[ε]ιτα δὲ παῖδας τοὺς προπέμ-ποντας αὐτὴν ἀκο-λουθεῖν καὶ Διώξιπ-πον· καὶ γὰρ οὗτος ἠ-κολούθει διὰ τὸ χή-ραν ἐκδίδοσθαι αὐτήν. — εἶτ' ἐγὼ εἰς τοῦτο ἀπο-νοίας ἦλθον, ὥστε ἄλλων τε τοσούτων ἀνθρώπων συν-ακολουθούντων καὶ Διωξίππου καὶ Εὐφραίου τοῦ προσ-γυμναστοῦ αὐτοῦ, οἳ τῶν Ἑλλήνων ὁμολογουμένως ἰσχυρότατοί εἰσιν, — ο[ὐ]κ ᾐσχυνόμην το[ιο]ύτους λόγους λέγων περὶ γυναι-κὸς ἐλευθέρας πάν-τ]ων ἀκουόντων, οὐδ'] ἐδεδίειν μὴ πα-ραχρ]ῆμα ἀπόλωμαι τυπ]τόμενος; τίς γὰρ] ἂν ἠνέσχετο τοι]αῦτα περὶ τῆς αὐ- |

VI. τοῦ ἀδελφ[ῆς ἀκού]ων οἷά με ο[ὗτοι αἰτι]ῶν-ται εἰρηκ[έναι καὶ οὐ κἂν ἀπέ[κτεινε τὸν λέγοντα; — [τὸ δὲ κεφ]ά-λαιον, ἃ π[ρὸς ὑμᾶς καὶ μικρῷ [πρόσθε]ν εἶπον, εἰς [τοῦτο ἀν]αι-σθησίας ὁ Χ[άριππ]ος, ὡς ἔοικεν, [ἦλθε]ν, ὥστε πρότ[ερον] μὲν, ὥς φασιν, [τῆς γυν]αι-κὸς προλε[γούσης] ὅτι

---

23 οσηγεν A pr. — 24 sqq. A: τηνγυναικα επει||ταδεπαιδαςτο[υ σπρο|πεμποντασαυτην|ακολουθειντωζευ|γειοσηγεντηνγυ|ναικα ε πειταδε e. q. s., cum scribentis oculus ab ἀκολουθεῖν v. 27 aberrasset ad idem vocabulum exstans v. 22.

Col. V. 7 εγδιδοσθαι A ut semper, quod retinet Sw.; ceterum a pr. m. εγδιδοναι. — 19 ησχυνομην A. — 26 ἀπα]γόμενος Bb. πνι]γόμενος K., Car. Fr. Hermann ap. Sw., C.; τυπ]τόμενος JBL. Littera est vel Γ vel T.

Col. VI. 1 ῶ in fine vers. A. — 3 εἰρηκέναι; ἆρ' οὐ|κ κτἑ. Bb.; εἰρ. καὶ οὐκ Sw. — 5 sqq. dedi ex Caesaris restitutione. Bb.: τὸ δὲ κ. ἀπ[ὸ τῶν ὀλίγων | καὶ μικρῶ[ν τούτων ὧ]ν εἶπον, eademque Sw., nisi quod contra cod. μακρῶν; tum K.: ἃ περὶ τούτων καὶ μικρῷ πρότερον εἶπον, nec aliter JBL., nisi quod in initio ἀπὸ τούτων, ὃ καὶ vult. — v. 8—15 cum C. lectiones Bb. secutus sum; at aliter K.: ὥστε προκαταγνοὺς, ὥς φασιν, τῆς γυναικὸς προδοσίας, ὅτι

συνομωμο[κυῖα εἴ]η πρὸς ἐμέ, πά[λιν δ]ὲ ἀκούων ἐμο[ῦ παρακελευομένο[υ αὐτῇ, ὅπως ἐμμ[ενεῖ ἐν τοῖς ὅρκοις οἷ[ς ὤμοσεν, ἐλάμβανε[ν γυναῖκα; — καὶ ταῦ[τα δοκεῖ ἂν ὑμῖν ἢ [Αἴας ἐκεῖνος ὁ μαιν[όμενος ποιῆσαι [ἢ Μαργίτης ὁ πάντ[ων ἀβελτερώτατος; — [Ἀλλ' οἶμαι, ὦ ἄνδρε[ς δικασταί, πολλὰ πλεο- |

VII. νεκτοῦσιν ἐν τοῖς ἀγῶσιν οἱ κατήγοροι τῶν φευγόντων· οἱ μὲν γὰρ διὰ τὸ ἀκίνδυνον αὐτοῖς εἶναι τὸν ἀγῶνα ῥᾳδίως ὅ τι ἂν βούλωνται λέγουσι καὶ καταψεύδονται, οἱ δὲ κρινόμενοι διὰ τὸν φόβον πολλὰ καὶ τῶν πεπραγμένων αὐτοῖς εἰπεῖν ἐπιλανθάνονται· — ἔπειτα οἱ μὲν ἐπειδὰν πρότερον λόγον λάβωσιν, οὐ μόνον ἃ ἔχουσιν αὐτοὶ δίκαια περὶ τοῦ πράγματος λέγουσιν, ἀλλὰ συσκευάσαντες λοιδορίας ψευδεῖς κατὰ τῶν κρινομένων ἐξιστᾶσιν τῆς ἀπολογίας, — ὥστε συμβαίνειν αὐτοῖς δυοῖν τὸ ἕτερον, ἢ περὶ τῶν ἔξωθεν διαβολῶν |

ἀπο[λογου]μένοις VIII
τῆς [περὶ τοῦ] πράγματος [ἀπολογία]ς ἀπολελ[εῖφθαι, — ἢ εἰ] μὴ μέμνη[νται περὶ] τῶν προκ[ατηγορηθ]έντων, ο[ὕτω δόξαν κ]ατα-

---

συν. κτέ. — 16 rest. Sw. — 17 ἐμμένῃ Bb., ἐμμενεῖ Sw. in adn., K. — 20 cum aliquantum spatii supersit, Bb. ἐλ—ε τὴν restituit; ἐλ—ν' αὐτὴν K. Sw., qui tamen in addendis ἐλάμβανεν probat. Possis etiam ἐλ. ὅμως. — 22 Ἡρ[ακλῆς Bb. in add., Sw., quod spatium egreditur, et ductus qui in A post H superest non P sed A vel O indicare videtur. Itaque ἢ Αἴας conicit Sw. in scholiis. — 24 ἢ M. Sw.; ὁ M. Bb.

Col. VII. 4 ομεν A pr. — 14 επειται A. — 16 πρότεροι Patakis. — 20 αλλαιςυνςκευ | A; ςυνςκ. retinet Sw. — 25 supra ε in A est ductus aliquis in hunc modum: ς. — 27 et 28 in fine vs. ων compendio scr.

Col. VIII. 4 ἀπο|λελ[ῆσθαι Bb.; ἀπο|λελ[εῖφθαι Sw. JBL. — 6 προσκατηγ.? — 7 ο[ἴημα Bb.; ο[ἴησιν Sw.; at sic spatium non expletur. Neque magis sufficit coniectura K.: οἴ-

λείπ[εcθαι παρ]ὰ τοῖc δικαcτ[αῖc ὅτι] ἀληθῆ ἐcτιν [τὰ εἰρ]ημένα· — πρὸc δ[ὲ τού]τοιc τούc τε μέ[λλοντα]c βοηθεῖν το[ῖc φε]ύγουcι προδιαβ[άλλ]ουcι καὶ αὐτοῦ τ[οῦ κριν]ομένου τὴν [ἀπολο]γίαν διαcτρ[έφουcιν]· — οἷον καὶ ἀ[ρτίωc] οὑτοcὶ ἐνεχεί[ρηcε ποιεῖν ἐν τῇ κα[τηγορίᾳ· — καὶ οὐδ' ἀποδ[έχεcθαι ἐῶcι τῶν ἀ[ναβαινόντων ὑπέ[ρ τινοc καὶ cυναπολ[ογηcομένων — δι.......... μὴ ἀπο.......... πότερ' οὐ[κ ἔννομόν ἐ- |

IX cτι τοῖc κρινομένοιc τοὺc οἰκείουc καὶ τοὺc φίλουc βοηθεῖν, — ἦ ἔcτιν τι τῶν ἐν τῇ πόλει τούτων δημοτικώτερον, τοῦ τοὺc δυναμένουc εἰπεῖν τοῖc ἀδυνάτοιc τῶν πολιτῶν κινδυνεύουcι βοηθεῖν; cὺ δὲ οὐ μόνον περὶ τῶν cυνηγόρων τοὺc λόγουc πεποίηcαι, ἀλλὰ καὶ τὴν ἀπολογίαν τὴν ἐμὴν διατάττειc καὶ παραγγέλλειc τοῖc δικαcταῖc περὶ ὧν δεῖ αὐτοὺc ἀκούειν (καὶ) κελεύειν με ἀπολογεῖcθαι, καὶ περὶ ὧν μὴ ἐᾶν λέγειν. — καὶ τοῦτο πῶc καλῶc ἔχει, cὲ μὲν ὅπωc ἠβούλου τὴν κατηγορίαν

---

εcθαι κατ. ἆρα τοῖc δ., qua reiecta ipse postea δόξαν καταλ. coniecit. — 8 καταλείπειν Bb. Sw. K. C.; quod spatio non prorsus sufficit. — 13 τοῖc φεύγουcι C.; π[ρὸc το]υτουcί Bb. Sw.; το[ῖc εἰ]cιοῦcι Sh. ap. JBL. — 18 [αὐτὸc] Bb. Sw. C., quod cum spatio minus convenit. — ουτοcϊ A. — 19 ἐνεχείρηcεν Sw.; ἐνεχ. ποιεῖν K. C. ἐν. νῦν Sh. — 20 τη A. — Sequentia K. ita restituit: οὐ|δ' ἀπολ[ογεῖcθαί τι|cι τῶν ἀ[ναγκαίων | τῶν ὑπὲ[ρ ἐμοῦ | cυναπολ[ογηcομέ|νων δι[δούc, ὧν δέομαι | μὴ ἀπο[λιπεῖν μ', ὁρᾶν δὲ | πότερ' οὐ[κ ἔξε|cτι κτέ. Sed ante, non post δι... v. 25 sententiam terminari spatium vacuum in A indicat. Itaque melius JBL: οὐδ' ἀποδέξεcθαί φηcι τῶν ἀπαντώντων ὑπὲρ ἐμοῦ cυναπολογηc.· διὰ τί δὴ ἀξιοῖc μὴ ἀποδέχεcθαι; πότερ' οὐκ ἔννομόν ἐcτι κτέ.

Col. IX. 6 τούτου corrigit Sw., ut in consimili loco pro Eux. col. 25; defendunt utrobique K. et C. — 20 ἀκούειν deleri iubet Sw.; K. et JBL καὶ inserunt, omissum a librario propter consimilem sequentem syllabam.

ποιήϲαϲθαι, προει- | X δότα δὲ ἃ ἔχω ἐγὼ δίκαια λέγειν πρὸϲ τὰ παρὰ ϲοῦ ἐψευϲμένα ὑφαιρεῖϲθαί μου τὴν ἀπολογίαν; — καὶ ἐμὲ μὲν αἰτιᾷ ἐν τῇ εἰϲαγγελίᾳ καταλύειν τὸν δῆμον παραβαίν[ον]τα τοὺϲ νόμουϲ, — αὐ[τὸϲ] δ' ὑπερπηδήϲ[αϲ ἅπ]ανταϲ τοὺϲ ν[όμο]υϲ εἰϲαγγελία[ν δέδ]ωκαϲ ὑπὲρ ὧν [γρα]φαὶ πρὸϲ τοὺϲ θεϲ[μοθ]έταϲ ἐκ τῶν νό[μων] εἰϲίν, ἵνα π[ρῶτον μ]ὲν ἀκίνδ[υνοϲ εἰϲ]ίῃϲ εἰϲ τὸ[ν ἀγῶνα,] ἔπε[ιτ]α ἐξ[ῇ ϲοι τραγ]ῳδίαϲ γρ[άψαι εἰϲ τὴ]ν εἰϲαγγελ[ίαν οἵαϲ]περ νῦν γέγρ[αφαϲ, — ὅϲ μ' α]ἰτιᾷ ὅτι τ[αύτην τὴν γ]υναῖκα....... ἄγαμ[ον ἔνδον κα]ταγηρ[άϲκειν]...αϲ δε ϲ.........ϲ |

XI οὐ προϲήκει παρὰ τοὺϲ νόμουϲ. οὐκοῦν ἄλλην μὲν οὐδεμίαν τῶν ἐν τῇ πόλει γυναῖκα ἔχειϲ εἰπεῖν, ᾗτινι ἐγὼ τούτων αἴτιόϲ εἰμι, περὶ ἧϲ δὲ νῦν τὴν κατηγορίαν πεποίηϲαι, πότερα ᾤου προϲήκειν ϲυνοικεῖν ἐκδεδομένην Χαρίππῳ, ἑνὶ τῶν πολι-

---

Col. X. 1 εχωι A. — 6 εν primo omissum a corr. demum additum. — 7 ειϲαγγελια A. — 11 πάνταϲ Bb. Sw. C. — ἅπανταϲ τοὺϲ π[ατρίουϲ Sh., cum revera ductus ille non magis N quam Π indicare videatur. — Quae sequuntur usque ad v. 20 Bb. restituit; deinde scripsit: ἐξιῇϲ τραγῳδίαϲ γράφων τὴν εἰϲ. ὥϲπερ νῦν γέγρ., καὶ αἰτιᾷ ὅτι τ. τὴν γυν. — ἄγαμον ἔνδον καταγηράϲκειν. K.: ἐξῇ ϲοι τρ—αϲ γράφειν δέον εἰϲ., οἵαϲπερ νῦν γέγρ., ὅϲ ἔμ' αἰτιᾷ ὅτι ταύτῃ τῇ γυναικὶ παρεϲκεύαϲα ἄγ. ἔ. κ., εἴγε τοιάϲδε ϲυνοικεῖν, ὡϲ φῄϲ, οὐ προϲήκει κτέ. Pat.: ἐξῇ ϲοι ὥϲπερ τραγ. γράψαι τὴν εἰϲ., ὥϲπερ νῦν γέγρ., καὶ αἰτιᾷ ὅτι ταύτην τ. γ. ἐγὼ ἐβουλόμην ἄ. ἔ. κ. — JBL.: ἐξῇ ϲοι τραγ. γράφειν εἰϲ τὴν εἰϲ., οἵαϲπερ νῦν γέγρ. — — αἰτιᾷ ὅτι ταύτην τ. γ. ἔπραττον ἄ. ἔ. κ. — Ceterum ad v. 16 sqq. referendus Harpocrationis locus, s. v. εἰϲαγγ.

Col. XI. 2 οὔκουν Sw. C., recte nisi sequeretur μέν. — 4 τη A. — 6 $\overset{η}{α}$τινι A. — 8 ηϲγε A pr. — 10 ωου A. — 11 εγ|δεδ. et 14 ανεγδοτον A, ut col. 5, 7. —

τῶν, ἢ ἀνέκδοτον ἔνδον καταγηράϲκειν, ἢ εὐθὺϲ ἐξεδόθη τάλαντον ἀργυρίου προϲθέντοϲ αὐτῇ Εὐφήμου, — δῆλον ὅτι οὐ διὰ πονηρίαν, ἀλλὰ δι' ἐπ(ι)είκειαν; — Τούτῳ μὲν οὖν ἔξεϲτιν, (ὦ) ἄνδρεϲ δικαϲταί, καὶ λέγειν ὅ τι ἂν βούληται καὶ καταψεύδεϲθαι, ὑμᾶϲ δ' οἶμαι δεῖν οὐκ ἐκ τῶν τοῦ κατηγόρου δια- |

XII βολῶν περὶ ἐμοῦ δικάζειν, — ἀλλ' ἐξ ἅπαντοϲ τοῦ βίου ὃν βεβίωκα ἐξετάϲανταϲ· λαθεῖν γὰρ τὸ πλῆθοϲ τὸ ὑμέτερον οὐκ ἔνι οὔτε πονηρὸν ὄντα οὐδένα τῶν ἐν τῇ πόλει οὔτε ἐπ(ι)εικῆ, — ἀλλ' ὁ παρεληλυθὼϲ χρόνοϲ μάρτυϲ ἐϲτὶν ἑκάϲτῳ τοῦ τρόπου ἀ]κριβέϲτατοϲ, — ἄλλωϲ τ]ε δὴ καὶ περὶ τούτων τῶ]ν αἰτιῶν οἵα αὕτη ἐϲτ]ίν. ὅϲα μὲν γὰρ τῶ]ν ἀδικημάτων ἐν ἁ]πάϲῃ τ(ῇ) ἡλικίᾳ το]ῦ ἀνθρώπου ἐνδέ]χεται ἀδικῆϲαι, ταῦ]τα μὲν δεῖ ϲκοπεῖ]ν ἀπ' αὐτοῦ τοῦ ἐγκλή]ματοϲ οὗ ἂν ἔχῃ τιϲ· μο]ιχεύειν δ' οὐκ ἐνδέ]χεται ἀπὸ πεντήκο]ντα ἐτῶν ἀρξάμενον,] ἀλλ' ἢ πάλαι......]όϲ ἐϲτιν, |

XIII ὃ δειξάτωϲαν οὗτοι,

21 επεικειαν A ut XII, 9 επεικη, quae servat Sw.; at pro Eux. col. 26 επεικη in επιεικη correctum reperitur. — 23 ω ανδρεϲ A corr. secundum Bb.; ego nihil reperio nisi ductus quosdam supra versum inter N et Δ litteras.

Col. XII. 2 εκπαντοϲ A pr. — 8 τη A. — 14 τουτω̄ A. — 18 παϲηιηλικιαι A. (τ supra scr.) — 20 ἀδικῆ|ϲαι Bb. K. JBL.; ἀδικη|θῆναι Sw., quod spatium excedit. — 23 sq. πράγ]ματοϲ οὗ ἂν [ἐρᾷ τιϲ K., quod recepit C. ἀξιώ]ματοϲ οὗ ἂν [ἔχῃ τιϲ Bb.; ἀδική]ματοϲ οὗ ἂν [ἀδικῇ τιϲ Sw. — 26 πεντήκοντα cum spatio magis convenit quam ἑξήκοντα; unde illud omnes. — 27 ἀρξάμ. Bb. — 28 πάλαι μοι πρόϲεϲτιν.Bb., sed in addendis π. τοιοῦτόϲ ἐϲτιν, et ap. JBL., affirmans litteram ante O non posse fuisse nisi aut T, aut Γ, aut Π, π. ἀκάθαρτόϲ ἐϲτιν. — JBL.: πάλαι τιϲ τοιοῦτόϲ ἐϲτι, quod aegerrime spatio vacuo capitur; πάλαι τιϲ μοιχόϲ ἐ. Sw.; π. τιϲ ἄϲωτόϲ ἐ. C. Ad sensum nihil melius quam primum illud: π. μοι πρόϲεϲτιν.

ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸϲ εἶναι. — ἐγὼ τοίνυν, ὦ ἄνδρεϲ δικαϲταί, μεθ' ὑμῶν διατρίβων ἐν τῇ πόλει τὸν ἅπαντα χρόνον οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν πώποτ' ἔλαβον οὔτ' ἔγκλημά μοι πρὸϲ οὐδένα τῶν πολιτῶν γέγονεν, οὐδὲ πέφευγα δίκην οὐδεμίαν, οὐδ' ἕτερον δεδίωχα, ἱπποτροφῶν δὲ διατετέλεκα φιλοτ[ί]μωϲ τὸν ἅπαντα χρόνον παρὰ δύναμιν καὶ ὑπὲρ τὴν οὐϲίαν τὴν ἐμαυτοῦ· — ἐϲτεφάνωμαι δ' ὑπό τε τῶν ἱππέων πάντων ἀνδραγαθίαϲ ἕνεκα καὶ ὑπὸ τῶν ϲυναρχόντων. ὑμεῖϲ γάρ με, ὦ ἄνδρεϲ δικαϲταί, πρῶ- |
XIV τον μὲν φύλαρχον ἐχειροτονήϲατε, ἔπειτα εἰϲ Λῆμνον ἵππαρχον, καὶ ἦρξα μὲν αὐτόθι δύ' ἔτη τῶν πώποθ' ἱππαρχηκότων μόνοϲ, προϲκατέμεινα δὲ αὐτόθι τὸν τρίτον ἐνιαυτὸν οὐ βουλόμενοϲ πολίταϲ ἄνδραϲ ἐπὶ κεφαλὴν εἰϲπράττειν τὸν μιϲθὸν τοῖϲ ἱππεῦϲιν ἀπόρωϲ διακειμένουϲ. — καὶ ἐν τούτῳ μοι τῷ χρόνῳ ἔγκλημα μὲν οὐδεὶϲ τῶν ἐκεῖ ἐνεκάλεϲεν οὔτε ἰδίᾳ οὔτε δημοϲίᾳ, — ϲτεφάνοιϲ δὲ τριϲὶν ἐϲτεφανώθην ὑπὸ τοῦ δ[ήμ]ου τοῦ ἐν Ἡφαιϲ[τί]ᾳ καὶ ἑτέροιϲ ὑ[πὸ] τοῦ ἐν Μυ⟦ρ⟧ρίνῃ· ἃ [δ]ὴ τεκμήρια ὑμῖν ἐ[ϲτι]ν εἰϲ τοῦτον τὸν |
XV ἀγῶνα, ὡϲ ψευδεῖϲ κατ' ἐμοῦ (αἱ) αἰτίαι εἰϲίν· — οὐ γὰρ οἷόν τε τὸν Ἀθήνηϲι πονηρὸν ἐν Λήμνῳ χρηϲτὸν εἶναι, οὐδ' ὑμεῖϲ ὡϲ τοιοῦτον ὄντα με ἀπεϲτέλλετε ἐκεῖϲε παρακατατιθέμε-

---

Col. XIII. 6 διατρειβων A. — τη A. — 8 οτε A pr. — 10 λαβων A pr. — ενκλη|μα A., quod retinet Sw. — 17 πολυτ[ι]μωϲ A pr.

Col. XIV. 17 εν|κλημα A. — 20 ϊδια A. — 21 δημοϲιαουδειϲ A pr.; corrector ουδειϲ ut delendum notavit.

Col. XV. 2 αἱ αἰτ. Bb. in adnot.; Sw., C. — 5 λημνω A. —

νοι δύο πόλειc τῶν ὑμετέρων αὐτῶν. — Ὅcα μὲν οὖν ἐγὼ εἶχον, ὦ ἄνδρεc δικαcταὶ, ὑπὲρ ἐμαυτοῦ εἰπεῖν, cχεδὸν ἀκηκόατε· ἐπ[ει]δὴ δὲ ὁ κατήγορ[ο]c οὐκ ἀπείρωc ἔχων τοῦ λέγειν, — εἰωθὼc δὲ πολλάκιc ἀγωνίζεcθαι ἐκάλει cυνηγόρουc τοὺc cυναπο[[λ]]λοῦντάc τινα τῶν πολιτῶν ἀδίκωc, δέομαι ὑμῶν καὶ ἐγὼ καὶ ἀντιβολῶ κελεῦcαι κἀμὲ καλέcαι τοὺc cυνεροῦνταc |
XVI ἐμοὶ ὑπὲρ τηλικούτου ἀγῶνοc — καὶ ἀκοῦcαι εὐνοϊκῶc, εἴ τίc μοι ἔχει τῶν οἰκείων ἢ τῶν φίλων βοηθῆcαι — πολίτῃ μὲν ὄντι ὑμετέρῳ, — ἰδιώτῃ δὲ καὶ οὐκ εἰωθότι λέγειν, — ἀγωνιζομένῳ δὲ καὶ κινδυνεύοντι οὐ μόνον περὶ θανάτου, ἐλάχιcτον γὰρ τοῦτό ἐcτιν τοῖc ὀρθῶc λογιζομένοιc, ἀλλ' ὑπὲρ τοῦ ἐξοριcθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν τῇ πατρίδι ταφῆναι. — ἐὰν οὖν κελεύητε, ὦ ἄνδρεc δικαcταὶ, καλῶ τινα βοηθήcοντα. ἀνάβηθί μοι, Θεόφιλε, καὶ cύνειπε ὅ τι ἔχειc· κελεύουcιν οἱ δικαcταί.

---

Ἀπολογία ὑπὲρ Λυκόφρονοc. |

---

22 cυναπολ|λυνταc A pr.; corrector o adscripsit. — 25 εγωι A. — 26 αντιβολωι A.

Col. XVI. 4 μου A pr. — 10 αγω|νιζομενω A. — 12 μονπερι A pr. — 25 Ante hunc proximumque versum atque etiam infra multae lineae obliquae pictae sunt. — 27 sq. Supra tituli utrumque versum aliquot lineae conspiciuntur, quas accentus notas interpreteris, nisi quod etiam post ultimam syllabam et infra Λυκοφρ. additae sunt.

# III.

XVII
# ΥΠΕΡ ΕΥΞΕΝΙΠΠΟΥ ΕΙϹΑΓΓΕΛΙΑϹ ΑΠΟΛΟΓΙΑ ΠΡΟϹ ΠΟΛΥΕΥΚΤΟΝ. |

XVIII Ἀλλ' ἔγωγε, ὦ ἄνδρες δικαcταί, ὅπερ καὶ πρὸc τοὺc παρακαθημένουc ἀρτίωc ἔλεγον, θαυμάζω, εἰ μὴ προcίcτανται ἤδη ὑμῖν αἱ τοιαῦται εἰcαγγελίαι. — τὸ μὲν γὰρ πρότερον εἰcηγγέλλοντο παρ' ὑμῖν Τιμόμαχοc καὶ Λεωcθένηc καὶ Καλλίcτρατοc καὶ Φίλων ὁ ἐξ Ἀναίων καὶ Θεότιμοc ὁ Cηcτὸν ἀπολέcαc καὶ ἕτεροι τοιοῦτοι· — καὶ οἱ μὲν αὐτῶν ναῦc αἰτίαν ἔχοντεc προδοῦναι, οἱ δὲ πόλειc Ἀθηναίων, ὁ δὲ ῥήτωρ ὢν λέγειν μὴ τὰ ἄριcτα τῷ δήμῳ· — καὶ οὔτε τούτων πέντε ὄντων οὐδεὶc ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντεc ἐκ τῆc πόλεωc, οὔτ' ἄλ- | XIX λοι πολλοὶ τῶν εἰcαγγελλομένων, ἀλλ' ἦν cπάνιον ἰδεῖν ἀπ' εἰcαγγελίαc τινὰ κρινόμενον ὑπακούcαντα εἰc τὸ δι-

---

Col. XVII. Inscriptio litteris valde diversis exarata est, quas propter ductuum summam neglegentiam et compendia quoque quaedam non facile intellegas.

Col. XVIII. 6 ηδηι A. — 23 τουτω̅ A. — 25 οὐδ' εἷc Sw. — 26 ωχοντο A.

Col. XIX. 3 ἀλλ' ἦν cπάνιον ἰδεῖν a corr. supra columnam adscriptum; de notis adhibitis v. praef. — 6 δικα-

καϲτήριον· — οὕτωϲ ὑπὲρ μεγάλων ἀδικημάτων καὶ περιφανῶν αἱ εἰϲαγγελίαι τότε ἦϲαν. — νυνὶ δὲ τὸ γινόμενον ἐν τῇ πόλει πάνυ καταγέλαϲτόν ἐϲτιν. — Διογνίδηϲ μὲν καὶ Ἀντίδωροϲ ὁ μέτοικοϲ εἰϲαγγέλλονται ὡϲ πλέονοϲ μιϲθοῦντεϲ τὰϲ αὐλητρίδαϲ ἢ ὁ νόμοϲ κελεύει, — *Ἀγαϲικλῆϲ δ' ὁ ἐκ Πειραιέωϲ ὅτι εἰϲ Ἁλιμουϲίουϲ ἐνεγράφη], Εὐξένιπποϲ δ' ὑ]πὲρ τῶν ἐνυπνίων] ὧν φηϲιν ἑωρακέ]ναι· ὧν οὐδεμ[ία] δήπου τῶν αἰτι[ῶ]ν τούτων οὐδὲν |

XX

κοινωνεῖ τῷ εἰϲαγγελτικῷ νόμῳ. — Καίτοι, ὦ ἄνδρεϲ δικαϲταί, ἐπὶ τῶν δημοϲίων ἀγώνων οὐ χρὴ τοὺϲ δικαϲτὰϲ πρότερον τὰ καθ' ἕκαϲτα τῆϲ κατηγορίαϲ ὑπομένειν ἀκούειν, πρὶν αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνοϲ καὶ τὴν ἀντιγραφὴν ἐξετάϲωϲιν εἰ ἔϲτιν ἐκ τῶν νόμων ἢ μή· — οὐ μὰ Δία, οὐχ ὥϲπερ ἐν τῇ κατηγορ[ί]ᾳ Πολύευκτοϲ ἔλεγεν, ο[ὐ φάϲκων δεῖν τοὺϲ ἀπολογουμένουϲ ἰϲχυρίζεϲθαι τῷ εἰϲαγγελτικῷ νόμῳ, ὃϲ κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν

---

ϲτηέριον A. — 10 τουτο A pr. — 11 γίγνομαι et γιγνώϲκω, quemadmodum in quibusdam locis etiam scriptum est, Hyperidi ubique restituit Cb.; Bb. Sw. C. codicem sequuntur. — 13 ειναι A pr., εϲτιν A corr. — 14 Διογνίδηϲ nomen iniuria tentavit Cb.; Διογενείδηϲ potius, quod reponere vult, non recte derivatum est. — 19 ἢ (ὅϲου) ὁ νόμοϲ solus Cb. — 20 αγηϲικληϲ A.; corr. Bb. collato Harpocrationis loco (s. v. Ἀγ.): περὶ Ἀγαϲικλέουϲ Ὑπ. λέγει κτέ. — 21 Πειραιῶϲ Cb. solus. — 25 ἑορακέναι Cb. solus. — 26 sq. neglegentiam quae est in τούτων repetito postquam praecessit ὧν alii defendunt; Cb. locum corruptum censet; Patakis καὶ ὅμωϲ οὐδεμία conicit.

Col. XX. 1 ουδε|νι A pr.; ουδε|ν A corr. — 10 πρὶν (ἂν) αὐτὸ ci. Sw., probavit Cb. — 13 εξεταϲιν A pr. — 15 μή tollere vult Cb., cui praeter Sw.[1] nemo assensus est. — 16 τηκατηγορ.α A. — 17 ὁ φάϲκων mire Sp. — 20 sq. τωειϲαγγελτικω A. — 26 μὴ οὐ nemo defendit praeter JBL.

τὰϲ εἰϲαγγελίαϲ ε[ἶ]ναι περὶ τοῦ λέγει[ν μὴ ⟦οὐ⟧ τὰ ἄριϲτα τῷ δήμῳ, οὐ κατὰ πάν- | XXI των Ἀθηναίων. — ἐγὼ δὲ οὔτε πρότερον οὐδενὸϲ ἂν μνηϲθείην ἢ τούτου, οὔτε πλείουϲ οἶμαι δεῖν λόγουϲ ποιεῖϲθαι περὶ ἄλλου τινὸϲ ἢ ὅπωϲ ἐν δημοκρατίᾳ κύριοι οἱ νόμοι ἔϲονται, καὶ αἱ εἰϲαγγελίαι καὶ αἱ ἄλλαι κρίϲειϲ κατὰ τοὺϲ νόμουϲ εἰϲί⟦ϲ⟧αϲιν εἰϲ τὸ δικαϲτήριον· — διὰ τοῦτο γὰρ ὑμεῖϲ ὑπὲρ ἁπάντων τῶν ἀδικημάτων, ὅϲα ἔϲτιν ἐν τῇ πόλει, νόμουϲ ἔθεϲθε χωρὶϲ περὶ ἑκάϲτου αὐτῶν. — ἀϲεβεῖ τιϲ περὶ τὰ ἱερά· γραφαὶ ἀϲεβείαϲ πρὸϲ τὸν βαϲιλέα (εἰϲίν). — φαῦλόϲ ἐϲτι πρὸϲ τοὺϲ ἑαυτοῦ γονεῖϲ· ὁ ἄρχων ἐπὶ τούτου κάθη[ται]. — παράνομά τιϲ ἐν τῇ πόλει | XXII γράφει· θεϲμοθετῶν ϲυνέδριόν ἐϲτι(ν). — ἀπαγωγῆϲ ἄξια ποιεῖ· ἀρχὴ τῶν ἕνδεκα καθέϲτηκε. — τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμουϲ καὶ ἀρχὰϲ καὶ δικαϲτήρια τὰ προϲήκοντα ἑκάϲτοιϲ αὐτῶν ἀπέδοτε. — ὑπὲρ τίνων οὖν οἴεϲθε δεῖν τὰϲ εἰϲαγγελίαϲ γίγνεϲθαι; τοῦτ᾽ ἤδη καθ᾽ ἕκαϲτον ἐν τῷ νόμῳ ἐγράψατε, ἵνα μὴ ἀγνοῇ μηδείϲ. — *ἐάν τιϲ*, φηϲί, *τὸν δῆμον τὸν Ἀθηναίων καταλύῃ·* — εἰκότωϲ, ὦ ἄνδρεϲ δικαϲταί· ἡ γὰρ τοιαύτη αἰτία οὐ παραδέχεται ϲκῆψι[ν ο]ὐδεμίαν οὐδενὸϲ οὐδ᾽ ὑπω-

---

Col. XXI. 18 τη A. — 22 γραφαιβαϲεβειαϲ A pr., eodem fortasse errore quo col. 9, 20 ἀκούειν κελεύειν pro ἀκ. καὶ κελ. scripsit. — 23 βαϲιλεαι A vel sec. Bb. A pr. — εἰϲίν desiderat Bb.; inserit Cb. post γραφαί, K. Sw.[1] post ἀϲεβ., L. C. Cp. post βαϲ. — 28 τη A.

Col. XXII. 1 γραφη A pr. — 4 αχρη A pr. — 10 δικαϲτηριαι A. — 12 αποδοτε A pr. — 14 ᾤεϲθε Cb. — 18 αγνοη A. — 21 καταλυϲη A. — 23 τοιαυτηι A. —

μοϲίαν, ἀλλὰ τὴν ταχίϲτην αὐτὴν δεῖ | XXIII εἶναι ἐν τῷ δικαϲτηρίῳ· — ἢ ϲυνίῃ ποι ἐπὶ καταλύϲει τοῦ δήμου ἢ ἑταιρικὸν ϲυναγάγῃ, ἢ ἐάν τις πόλιν τινὰ προδῷ ἢ ναῦϲ ἢ πεζὴν ἢ ναυτικὴν ϲτρατιάν, ἢ ῥήτωρ ὢν μὴ λέγῃ τὰ ἄριϲτα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνων· — τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων τῶν πολιτῶν γράψαντεϲ, — ἐκ πάντων γὰρ καὶ τἀδικήματα ταῦτα γένοιτ' ἄν· — τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν τῶν ῥητόρων, παρ' οἷϲ ἔϲτιν καὶ τὸ γράφειν τὰ ψηφίϲματα. — ἐμαίνεϲθε γὰρ ἄν, εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεϲθε ἢ οὕτωϲ, — εἰ τὰϲ μὲν τ[ι]μὰϲ καὶ τὰϲ | XX ὠφελίαϲ ἐκ τοῦ λέγειν οἱ ῥήτορεϲ καρποῦνται, τοὺϲ δὲ κινδύνουϲ ὑπὲρ αὐτῶν τοῖϲ ἰδιώταιϲ ἀνεθήκατε. — ἀλλ' ὅμωϲ Πολύευκτοϲ οὕτωϲ ἐϲτὶν ἀνδρεῖοϲ ὥϲτε εἰϲαγγελίαν διώκων οὐκ ἔφη δεῖν τοὺϲ φεύγονταϲ τῷ εἰϲαγγελτικῷ νόμῳ χρῆϲθαι. — καὶ οἱ μὲν ἄλλοι πάντεϲ κατήγοροι, ὅταν οἴωνται δεῖν ἐν τῷ προτέρῳ λόγῳ ὑφελεῖν τῶν φευγόντων τὰϲ ἀπολογίαϲ, — τοῦτο παρακελεύονται τοῖϲ δι-

---

27 υπωμθϲιαν A pr., quod puncto sub mediam lineolam Θ litterae posito correctum est.

Col. XXIII. 1 εἰϲιέναι εἰϲ τὸ δικαϲτήριον ci. Bakius ap. Cb. — 3 που A pr. — 5 ϲυναγαγη A. — 10 τω A. — 16 παντω̄ A. — 20 κατατωνρητορων A pr. — 24 αλλοτια|να A pr.; corr. N addidit et A transfixum delevit. — 27 $\overset{\text{ει}}{\text{ηταϲ}}$ A., puncto supra H litteram addito; unde εἰ τὰϲ omnes praeter C., qui ἢ εἰ τὰϲ edidit. Cobeto tamen post οὕτωϲ aliqua intercidisse videntur. cf. L.[1] p. 518.

Col. XXIV. 3 ἐκαρποῦντο K., qui et αὐτῶν v. 4 scribendum putavit, sed postea et ipse αὐτῶν agnovit. — Versui secundo fortasse, errore videlicet, interpunctio supposita fuit, quae proximo magis conveniebat. — 9 ειϲαγγελιαϲ A pr. —

κασταῖς, μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων, ἐάν τινες ἔξω τοῦ νόμου λέγωσιν, ἀλλ' ἀπαντᾶν πρὸς τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγινώσκειν· — σὺ δὲ τοὐναν- |
XXV τίον τὴν εἰς τοὺς νόμους καταφυγὴν ἐκ τῆς ἀπολογίας οἴει δεῖν ἀφελέσθαι Εὐξενίππ[ο]υ. — Καὶ πρὸς τούτοις οὐδὲ βοηθεῖν οὐδένα φῂς δεῖν αὐτῷ οὐδὲ συναγορεύειν, ἀλλὰ παρακελεύῃ τοῖς δικασταῖς μὴ θέλειν ἀκο[ύ]ειν τῶν ἀναβαινόντων. — καίτοι τί τούτων ἐν τῇ πόλει βέλτιον ἢ δ[ημο]τικώτερόν ἐστι, πολλῶν καὶ ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τις ἰδιώτης εἰς ἀγῶνα καὶ κίνδυνον καταστὰς μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι, τούτῳ τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναβάντα βοηθῆσαι καὶ τοὺς δικαστὰς ὑπὲρ τοῦ πράγματος τὰ δίκαια διδάξαι; |
ἀλλὰ νὴ Δία αὐτὸς τοι- XXVI
ούτῳ πράγματι οὐ κέχρησαι; ἀλλ' ὅτ' ἔφευγες τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου, δέκα μὲν συνηγόρους ἐκ τῆς Αἰγηίδος φυλῆς ᾐτήσω, ὧν καὶ ἐγὼ ε[ἷ]ς ἦν αἱρεθεὶς ὑπὸ σοῦ, ἐκ δὲ τῶν ἄλλων [Ἀ]θηναί-

---

23 εαντι·|νες A.; ἐάν τι Cb. — 27 K.[1] post κελεύειν excidisse putat τὸν γραμματέα.

Col. XXV. 7 φηϲ ubique A., quam scripturam non mutandam censui. — αυτω A. — 9 παρακελεύει Cb. — 10 μὴ ἐθέλειν Cb.; debebam fortasse μὴ 'θέλειν scribere. — 13 τούτου Sw. Cb. Cp. MO.; retinent τούτων ceteri, coll. pro Lyc. col. 9, 6. C. tamen quod utrobique illud vocabulum cum ἐν τῇ πόλει coniungit, hoc loco coactus est τούτων τῶν conicere. At nulla est offensio; cf. e. g. Lys. 27, 10. — τη A. — 14 βελτειον A.

Col. XXVI. 1 μὰ Δία iniuria requirit Cb. — τοι τούτῳ Patakis. — 4 αγωνατουε|ξουουδεκα A pr.; corrector deletis ΤΟ litteram Ε mutavit in Π et ΥΠΑΛΕ post vs. adscripsit; porro v. 5 ανδρ post Ξ et deinde τουεξοι supra vs. addidit. — 7 ητηϲωι A.; ᾑρήϲω Sp. — 8 εγωι A. —

ων ἐκάλειϲ ἐπὶ τὸ δικαϲτήριον τοὺϲ βοηθήϲοντάϲ ϲοι. — καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶϲ κέχρηϲαι; οὐ κατηγόρηϲαϲ ὁπόϲα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλειϲ ϲυγκατηγορήϲοντα, οὔτε τῷ λέγειν οὐδενὸϲ τῶν ἐν τῇ πόλει καταδεέϲτερον ὄντα, παρὰ τούτοιϲ τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; — εἶτα ϲοὶ μὲν ἔξεϲτι καὶ φε[ύ]γοντι τοὺϲ βοηθήϲονταϲ κα- |
XXVII λε[ῖ]ν καὶ διώκοντι το[ὺϲ] ϲυγκατηγόρουϲ ἀναβιβάϲαϲθαι, ὃϲ οὐ μόνον ὑπὲρ ϲεαυτοῦ δύναϲαι εἰπεῖν, ἀλλὰ καὶ ὅλῃ πόλει πράγματα παρέχειν ἱκανὸϲ εἶ, — Εὐξενίππῳ δ' ὅτι ἰδιώτηϲ ἐϲτὶ καὶ πρεϲβύτεροϲ οὐδὲ τοὺϲ φίλουϲ καὶ τοὺϲ οἰκείουϲ ἐξέϲται βοηθεῖν, εἰ δὲ μή, διαβληθήϲονται ὑπὸ ϲοῦ; — Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐϲτι καὶ ἄξια θανάτου, ὡϲ ϲὺ λέγειϲ ἐν τῇ κατηγορίᾳ. ϲκέψαϲθε δή, ὦ ἄνδ[ρ]εϲ δικαϲταί, καθ' ἓν ἕκαϲτον αὐτῶν ἐξετάζοντεϲ. — ὁ δῆμοϲ προϲέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ ἐγκατακλιθῆναι εἰϲ τὸ ἱερόν, οὗτοϲ δὲ κοιμηθεὶϲ ἐνύπνιόν φηϲιν ἰδεῖν, |
XXVIII ὃ τῷ δήμῳ ἀπαγγεῖλαι. — τοῦτ' εἰ μὲν ὑπελάμβανεϲ ἀληθὲϲ εἶναι, καὶ ὃ εἶδεν ἐν τῷ ὕπνῳ τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸϲ τὸν δῆμον, τί καὶ ἀδικεῖ ἃ ὁ θεὸϲ αὐτῷ προϲέταττε ταῦτ' ἐξαγγείλαϲ πρὸϲ Ἀθηναίουϲ; — εἰ δέ, ὥϲπερ νυνὶ λέγειϲ,

---

13 κατα A pr. — 16 τουαγωνοϲ A pr. — 18 ου a correct. additum videtur. — 20 ϲυνκατ. A. Sw. — 22 τη A. — 25 επεικηι A pr.; επιεικηι corr.

Col. XXVII. 2 ϲυνκατηγορουϲ A. Sw. — 6 ὅλῃ τῇ πόλει Cb. — 8 ευξενιππω A. — 25 ενκατακλιθηναι A. Sw.; ἐγκατακλινῆναι Cb. — 26 ϊερον A.

Col. XXVIII. 3 αληθη A pr; αληθεϲ A corr. Tamen illud secutus est Sw. — 7 αδικια A pr.; αδικει del. a corr. — 8 ἅ (sic) ante versum positum correctori debetur. Etiam

ἡγοῦ αὐτὸν καταψεύϲαϲθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τιϲι μὴ τἀληθῆ ἀπηγγελκέναι τῷ δήμῳ, οὐ ψήφιϲμα ἐχρῆν ϲε πρὸϲ τὸ ἐνύπνιον γράφειν, ἀλλ' ὅπερ ὁ πρότεροϲ ἐμοῦ λέγων εἶπεν, εἰϲ Δελφοὺϲ πέμψαντα πυθέϲθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν. — ϲὺ δὲ τοῦτο μὲν οὐκ ἐποίηϲαϲ, ψήφιϲμα δὲ αὐτοτελὲϲ ἔγραψαϲ κατὰ δυοῖν φυλαῖν οὐ μόνον ἀδικώτατον, |
XXIX ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῷ · — δι' ὅπερ ἥλωϲ παρανόμων, οὐ δι' Εὐξένιππον. Ἐξετάϲωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. — αἱ φυλαὶ ϲύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ διείλοντο, τοῦ δήμου αὐταῖϲ δόντοϲ. τοῦτο τὸ ὄροϲ ἔλαχεν Ἀκαμαντὶϲ καὶ Ἱπποθοωντίϲ. — ταύταϲ τὰϲ φυλὰϲ ἔγραψαϲ ἀποδοῦναι τὸ ὄροϲ τῷ Ἀμφιαράῳ καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡϲ πρότερον τοὺϲ ὁριϲτὰϲ τοὺϲ πεντήκοντα ἐξελόνταϲ αὐτὸ τῷ θεῷ καὶ ἀφορίϲανταϲ, καὶ οὐ προϲηκόντωϲ τὰϲ δύο φυλὰϲ ἐχούϲαϲ τὸ ὄροϲ. — μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίϲματι γράφειϲ τὰϲ ὀκτὼ φυλὰϲ ποιῆϲαι *ταῖν | δυοῖν φυλαῖν τὰ διά- XXX
φορα καὶ ἀποδοῦναι, ὅπωϲ ἂν μὴ ἐλαττῶνται. — καίτοι εἰ μὲν ἴδιον (ὂν) τῶν φυλῶν ἀφῃροῦ τὸ ὄροϲ, πῶϲ οὐκ ὀργῆϲ ἄξιοϲ; — εἰ δὲ μὴ προϲηκόντωϲ εἶχον αὐτό, ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰϲ ἄλλαϲ φυλὰϲ ἔγ[ρ]αφεϲ αὐταῖϲ προϲαποδιδόναι ἀργύριον; ἀγαπητὸν γὰρ ἦν *αὐ-

---

in ηγου v. 12 spiritus nota conspicitur. — 12 κατεψεῦϲθαι Patakis. — 19 ποτεροϲ A pr. — 20 ειπειν A pr.

Col. XXIX. 8 ορηι A. — 11 τὸ αὐτὸ ὄροϲ K. — 12 ἔλαχον Cb., recte fortasse. — 19 πεντηι A. — 26 ταυτω A. — 27 οκτωι A. — 28 ποῖϲαι Cb. — ταν A.

Col. XXX. 5 ἴδιον (ὂν) Cb. Patakis Sw.[1] Cp. JBL.; ἴδιον C. — αφηρου A. — 7 ἄξιοϲ (εἶ); εἰ Sw. Cb. Cp., ἄξιον; εἰ Langius ap. Sw. — Eo difficilius hoc in loco εἶ excidere potuit, quod post ἄξ. spatium vacuum est in codice. — 12 τἀρ-

ταῖϲ εἰ τὰ τοῦ θεοῦ ἀποδώϲουϲιν καὶ μὴ προϲαποτίϲουϲι(ν) ἀργύριον.—Ταῦτ' ἐν τῷ δικαϲτηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶϲ ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίϲαντό ϲου οἱ δικαϲταί. εἶτ' εἰ μὲν ἀπέφυγεϲ τὴν γραφήν, οὐκ ἂν κατεψεύϲατο οὗτοϲ τοῦ θεοῦ, ἐπειδὴ δὲ ϲυνέβη ϲοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι; — καὶ ϲοὶ |

XXXI μὲν τῷ τοιοῦτο ψήφιϲμα γράψαντι πέντε καὶ εἴκοϲι δραχμῶν ἐτιμήθη, — τὸν δὲ κατακλιθέντα εἰϲ τὸ ἱερὸν τοῦ δήμου κελεύϲαντοϲ μηδ' ἐν τῇ Ἀττικῇ δεῖ *τεθάφθαι; Ναί· — δεινὰ γὰρ ἐποίηϲεν περὶ τὴν φιάλην ἐάϲαϲ Ὀλυμπιάδα ἀναθεῖναι εἰϲ τὸ ἄγαλμα τῆϲ Ὑγιείαϲ. — τοῦτο γὰρ ὑπολαμβάνειϲ, ἐφόδιον ἑαυτῷ εἰϲ τὸν ἀγῶνα τὸ ἐκείνηϲ ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου, μῖϲοϲ καὶ ὀργὴν αὐτῷ ϲυλλέξειν παρὰ τῶν δικαϲτῶν. — δεῖ δέ, ὦ βέλτιϲτε, μὴ ἐπὶ τῷ Ὀλυμπιάδοϲ ὀνόματι καὶ τῷ Ἀλεξάνδρου τῶν πολιτῶν |

XX τινα ζητεῖν κακόν τι ἐργάϲαϲθαι, ἀλλ' ὅταν ἐκεῖνοι πρὸϲ τὸν δῆμον τὸν Ἀθηναίων ἐπιϲτέλλωϲι μὴ τὰ δίκαια μηδὲ τὰ προϲήκοντα, τότε ἀναϲτάντα ὑπὲρ τῆϲ πόλεωϲ

---

γύριον Cb. — 14 αυτοιϲ A, quod retinet L. — 22 ετει A pr. — 23 απεφευγεϲ A.

Col. XXXI. 4 ετειμηθηι A. — 5 κατακλινέντα Cb. — 6 ϊερον A. — 8 αττικη A. — τεταφ|ναι A pr.; τεταφθαι|ναι A corr. Τεταφέναι exstiterit; inde interpunctionis signum nono demum versui suppositum. — τεθάφθαι· δεινὰ Bb.; ταφῆναι· δεινὰ Sw. Cp. JBL.; ταφῆναι. (νὴ Δία), δεινὰ Cb. Sw.[1]; ταφῆναι. ναί· δεινὰ L. Ipse K. et C. secutus sum. — 9 δεινγαρ A pr. — 13 υγειαο A pr.; υγιέιαο A corr.; sed punctum illud casu ortum esse potest. — 13 τούτῳ Sw.; οὕτω K., quo reiecto idem nunc ἕξειν καὶ post ἀγῶνα excidisse putat. — 15 εαυτω A; ϲαυτῷ Cb. — 18 κολαζει|αν ψευδει A pr. — 21 ϲυν|λεξειν A Sw. — 24 των A pr., τω corr. — 26 τω A.

ἀντιλέγειν καὶ πρὸc τοὺc ἥκονταc παρ' αὐτῶν δικαιολογεῖcθαι καὶ εἰc τὸ κοινὸν τῶν Ἑλλήνων cυνέδριον πορεύεcθαι βοηθήcοντα τῇ πατρίδι. — cὺ δ' ἐκεῖ μὲν οὐδεπώποτε ἀνέcτηc οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήcω, ἐνθάδε δὲ μιcεῖc Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέcαι Εὐξένιππον, καὶ φῂc κόλακα αὐτὸν εἶναι ἐκείνηc καὶ Μακεδόνων· — ὃν ἐὰν δείξῃc ἀφιγμένον πώποτε εἰc Μα- |
XXXIII κεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰc τὴν αὑτοῦ οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα ἢ λόγουc καὶ οὑcτιναcοῦν ἢ ἐπ' ἐργαcτηρίου ἢ ἐν τῇ ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων εἰρηκότα καὶ μὴ κοcμίωc καὶ μετρίωc τὰ αὑτοῦ πράττοντα ὥcπερεί τιc καὶ ἄλλοc τῶν πολιτῶν, χρηcάcθωcαν αὐτῷ οἱ δικαcταὶ ὅ τι βούλονται. — εἰ γὰρ ταῦτα ἦν ἀληθῆ ἃ κατηγορεῖc, οὐκ ἂν cὺ μόνοc ᾔδειc, ἀλλὰ καὶ οἱ ἄλλοι πάντεc οἱ ἐν τῇ πόλει, ὥcπερ καὶ περὶ τῶν ἄλλων ὅcοι τι ὑπὲρ ἐκείνων ἢ λέγουcιν ἢ πράττουcιν, |
XXXIV οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴcαcι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδαcκαλείων καὶ τῶν ῥητόρων τοὺc παρ' ἐκείνων μιcθαρνοῦνταc καὶ τῶν ἄλλων τοὺc ξενίζονταc τοὺc ἐκεῖθεν ἥκον-

---

Col. XXXII. 12 τῶ A. — 20 μειcειc A. — 26 δειξηc A. — αφειγμενον A.

Col. XXXIII. 5 τινι in margine additum. — 7 λογουcc A pr. — 9 τη A. — 17 χρηcάcθων Cb. — 18 αυτω A. — 20 ταῦτ' ἦν Cb. — 22 ηδειc A.

Col. XXXIV. 1 οὗτοι Cb., ut intellegantur iudices, quod probant K. Cp. Cb. At hic est sensus: „non hercle occulta res est, ut ipsi modo sibi conscii sint". Non possunt iudices ceteris civibus ita opponi, ut accuratior notitia talium rerum eis adscribatur. Neque magis post ἴcαcι excidit γάρ

ταϲ καὶ ὑποδεχομένουϲ καὶ εἰϲ τὰϲ ὁδοὺϲ ὑπαντῶνταϲ ὅταν προϲίωϲι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων Εὐξένιππον καταριθμούμενον· — ϲὺ δ' ἐκείνων μὲν οὐδένα κρίνειϲ οὐδ' εἰϲ ἀγῶνα καθίϲτηϲ, οὓϲ πάντεϲ ἴϲαϲι ταῦτα πράττονταϲ, κατ' Εὐξενίππου δὲ κολακείαν [κ]ατηγορεῖϲ, οὗ ὁ βίοϲ τὴν αἰτίαν οὐ παραδέχεται. |

XXXV καίτοι, εἰ νοῦν εἶχεϲ, περί γε τῆϲ φιάληϲ τῆϲ ἀνατεθείϲηϲ οὔτ' ἂν Εὐξένιππον ᾐτιῶ οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήϲω· οὐ γὰρ ἁρμόττει. — διὰ τί; καί μου τὸν λόγον, ὦ ἄνδρεϲ δικαϲταί, ἀκούϲατε, ὃν μέλλω λέγειν. (—) Ὑμῖν Ὀλυμπιὰϲ ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δωδώνῃ οὐ δίκαια, ὡϲ ἐγὼ δὶϲ ἤδη ἐν τῷ δήμῳ ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸϲ τοὺϲ ἥκονταϲ παρ' αὐτῆϲ ἐξήλεγξα οὐ προϲήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκαλοῦϲαν. ὑμῖν γὰρ ὁ Ζεὺϲ ὁ Δωδωναῖοϲ προϲέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆϲ Διώνηϲ ἐπικοϲ- |

XXXVI μῆϲαι· καὶ ὑμεῖϲ πρό-

---

(K[1]). — 14 προΐωϲι Cb. Pat. Cp. JBL., quod et ipsum non necessarium est. „Cum appropinquantes eos prospiciant, in viam occurrunt.“ — 22 πραττοντεϲ A pr. — 23 κατ' delet Cb. — 25 ου$\overset{ο}{β}$ιοϲ A. — τὴν αἰτίαν iniuria sollicitant Bakius et Cb.. — In fine columnae additus fuit versus: καιτοιειουνειχεϲ, qui deinde a correctore uncis inclusus est.

Col. XXXV. 1 ειουνειχεϲ A pr. — 5 ητιωι A. — 7 εποιηϲωι A. — 8 Spatium vacuum in codice et ante et post διὰ τί relictum est; sed cf. c. Dem. 20, 8. Ceterum διὰ τί delere vult K[1]. — 12 in codice post ὑμῖν demum interpunctum est; quid sibi velit linea extremo vs. 11 supposita ignoro. — ενκλ. A Sw. — 14 δωδωνη A. — 15 pro ὡϲ K[1] conicit καί, consulens eidem difficultati cui Cb. expungendo verba οὐ προϲήκ. — ἐγκαλοῦϲαν mederi studuerat. — 22 et 23 cod. εγκ. offert.

cωπόν τε *ποιηcάμενοι ὡc οἷόν τε κάλλιcτον καὶ τἄλλα πάντα τὰ ἀκόλουθα, καὶ κόcμον πολὺν καὶ πολυτελῆ τῇ θεῷ παραcκευάcαντεc καὶ θεωρίαν καὶ θυcίαν πολλῶν χρημάτων ἀποcτείλαντεc ἐπεκοcμήcατε τὸ ἕδοc τῆc Διώνηc ἀξίωc καὶ ὑμῶν αὐτῶν καὶ τῆc θεοῦ. — ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ᾿ Ὀλυμπιάδοc ἐν ταῖc ἐπιcτολαῖc, ὡc ἡ χώρα εἴη ἡ *Μολοττία αὐτῆc, ἐν ᾗ τὸ ἱερόν ἐcτιν· οὔκουν προcῆκεν ἡμᾶc τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. — ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίcηcθε εἶναι, |

XXXVII

τρόπον τινὰ καὶ ἡμῶν αὐτῶν καταγινώcκομεν ὡc τὰ ἐκεῖ οὐκ ὀρθῶc ἐπράξαμεν· — ἐὰν δ᾿ ἐπὶ τοῦ γεγενημένου ἐῶμεν, τὰc τραγῳδίαc αὐτῆc καὶ τὰc κατηγορίαc ἀφῃρηκότεc ἐcόμεθα. — οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνηcιν ἱερὰ ἐπικοcμεῖν ἔξεcτιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέcται, καὶ ταῦτα τοῦ θεοῦ προcτάξαντοc. Ἀλλ᾿ οὐκ ἔcτιν, ὦ Πολύευκτε, ὡc ἐμοὶ δοκεῖc, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήcαιο. καίτοι cε ἐχρῆν, ἐπείπερ προῄρηcαι πολιτεύε-

---

Col. XXXVI. 2 κοcμηcαμενοι A. κομιcάμενοι Pat. Sw.[1] Cp.; ποιηcάμενοι K. — 5 τἀκόλ. Cb. — 7 πολυτεληι A. — 11 απεcτειλαντεc A pr. — 15 ὑ|περ A. — 17 Hic quoque εγκλ. A.. — 20 ἡ Μολοccία (sic enim A) ut manifestum emblema eicit Cb., non adversante Sw.[1], probantibus K. Cp.; at recte JBL. monuit, nihil praeter formam ibi suspectam esse; hanc igitur mutandam. — 21 τοϊερον A. — 22 οὐκοῦν Bb. — 23 προcήκειν Cb. Pat. Cp.; sed ita imperfecti notio obscuratur. — 26 φιλην A pr.

Col. XXXVII. 2 αὐτῶν errore om. C. — καταγεινωcκομεν A. — 7 Post ἐῶμεν recte distinguunt Sch. K.[1] Cp. — 9 αφηρηκοτεc A. — 15 δωδωνη A. — 19 δοκειc A, δοκεῖ errore Bb. Sw. Cb. — 22 εἴπερ Cb. — 23 προηρηcθαι A pr., προηρηcαι A corr. —

ϲθαι, καὶ νὴ Δία καὶ δύναϲαι, μὴ τοὺϲ ἰδιώταϲ κρίνειν μηδ' εἰϲ τούτουϲ νεανιεύεϲθαι, ἀλλὰ τῶν ῥητό- |

XXXVIII ρων ἐάν τιϲ ἀδικῇ, τοῦτον κρίνειν, ϲτρατηγὸϲ ἐάν τιϲ μὴ τὰ δίκαια πράττῃ, τοῦτον εἰϲαγγέλλειν· παρὰ γὰρ τούτοιϲ ἐϲτὶ καὶ τὸ δύναϲθαι βλάπτειν τὴν πόλιν, ὅϲοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ' Εὐξενίππῳ οὐδὲ τῶν δικαϲτῶν τούτων οὐδενί. — καὶ οὐ ϲὲ μὲν οὕτωϲ οἴομαι δεῖν πράττειν, αὐτὸϲ δὲ ἄλλον τινὰ τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸϲ ἰδιώτην οὐδένα πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τιϲι καθ' ὅϲον ἐδυνάμην ἐβοήθηϲα. τίναϲ οὖν κέκρικα καὶ εἰϲ ἀγῶνα καθέϲτακα; Ἀριϲτοφῶντα τὸν Ἁζηνιέα, ὃϲ ἰϲχυρότατοϲ ἐν τῇ πολιτείᾳ γεγένηται· — |

καὶ οὗτοϲ ἐν τούτῳ XXXIX τῷ δικαϲτηρίῳ παρὰ δύο ψήφουϲ ἀπέφυγε· — Διοπ(ε)ίθη τὸν Ϲφήττιον, ὃϲ δεινότατοϲ δοκεῖ εἶναι τῶν ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούϲιον, ὃϲ θραϲύτατα καὶ ἀϲελγέϲτατα τῇ πολιτείᾳ κέχρηται· τοῦτον εἰϲαγγείλαϲ ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ *ὑπηρετήκει κατὰ τῆϲ πόλεωϲ εἷλον ἐν τῷ δικαϲτηρίῳ, καὶ τὴν εἰϲαγγελίαν ἔγραψα δικαίαν καὶ ὥϲπερ ὁ νόμοϲ κελεύει, ῥή-

---

24 δυα A pr., δια corr.

Col. XXXVIII. 2 κρίνειν (ἢ) pessime Cb. — 10 spatio vacuo quod est post προαιρ. respondet linea huic versui supposita; at ea cancellis circumscripta est. — 14 οιμαι A pr. — 15 αὐτὸϲ δὲ (καὶ) ἄλλον male L. — 16 sq. τηπολιτεια A. — 20 εκρεινα A. — 24 καὶ εἰϲ ἀγῶνα καθέϲτακα delet Cb.; JBL. καθέϲτακα in κατέϲτηϲα mutari iubet. Sw. K. C. Cp. codicis lectionem retinent; sed cf. Cp. p. 90. — 26 Ἁζηνιέα Sch. Cb. Cp.; αιζηνιεα A. — 28 πολιτεια A.

Col. XXXIX. 6 ἐδόκει Sch. propter temporum rationes. — 11 sq. ι|ϲαγγελιαϲ A pr. — 14 υπηρετεικαι A; em. Schoemann ap. Sw.[1], quamquam ipse ὑπηρέτηκε propter maiorem simi-

τορα ὄντα λέγειν μὴ τὰ ἄριϲτα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰϲ παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ· καὶ οὐδ' οὕτωϲ ἀπέχρηϲέ μοι τὴν εἰϲ- |

XL ἀγγελίαν δοῦναι, ἀλλ' ὑποκάτω παρέγραψα· τάδ' εἶπεν οὐ τὰ ἄριϲτα τῷ δήμῳ χρήματα λαβών, εἶτα τὸ ψήφιϲμα αὐτοῦ ὑπέγραψα· — καὶ πάλιν· τάδε εἶπεν οὐ τὰ ἄριϲτα τῷ δήμῳ χρήματα λαβών, καὶ τὸ ψήφιϲμα παρέγραφον. καὶ ἐϲτί μοι πεντάκιϲ ἢ ἑξάκιϲ τοῦτο γεγραμμένον· δίκαιον γὰρ ᾤμην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίϲιν ποιῆϲαι. — ϲὺ δ' ἃ μὲν εἰπεῖν Εὐξένιππον φῂϲ οὐ τὰ ἄριϲτα τῷ δήμῳ οὐκ εἶχεϲ γράψαι εἰϲ τὴν εἰϲαγγελίαν, ἰδιώτην δ' ὄντα κρίνειϲ ἐν τῇ τοῦ ῥήτοροϲ τάξει· — μικρὰ δὲ περὶ τῆϲ ἀντιγραφῆϲ εἰπὼν ἑτέραϲ αἰτίαϲ καὶ διαβολὰϲ |

XLI ἥκειϲ φέρων κατ' αὐτοῦ, — λέγων ὡϲ Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ Δημοτίωνοϲ δίαιταν ἔλαβεν, καὶ ἄλλαϲ τοιαύταϲ κατηγορίαϲ, ἵν' ἐὰν μὲν ἀφέμενοι τῆϲ εἰϲαγγελίαϲ περὶ τῶν ἔξω τοῦ πράγματοϲ κατηγορηθέντων ἀπολογῶνται, ἀπαντῶϲιν αὐτοῖϲ οἱ δικαϲταί· τί ταῦθ' ἡμῖν λέγετε; — ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν αὐτοῖϲ χείρων γίνηται· τῶν γὰρ κατηγορηθέντων τὸ μὴ λαβὸν ἀπολογίαν ὑπὸ τῇ ὀργῇ τῶν δικαϲτῶν καταλ(ε)ίπεται. — καὶ τὸ πάντων δειν(ότ)ατον τῶν

---

litudinem praeferens. — 24 δωρεϲ A pr. — 26 δημω A.

Col. XL. 1 ειϲ|αγγελιανανδουναι A. — 4 τω A. — 15 ωμην A. — 23 τη A. — 24 μεικρα A.

Col. XLI. 7 post κατηγορίαϲ excidisse aliqua putat K.[1], in hunc fere modum: οἵαϲ οἱ ϲυκοφάνται εἰώθαϲι κατὰ τῶν φευγόντων λέγειν. — 13 versui interpunctionis nota subscripta, sed deinde uncis inclusa est. Idem accidit 38, 10. —

ἐν τῷ λόγῳ λεγομένων ὑπὸ ϲοῦ, ὃ ϲὺ ᾤου λανθάνειν ὧν ἕ- | XLII νεκα λέγειϲ, οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκιϲ, ὡϲ πλούϲιόϲ ἐϲτιν Εὐξένιπποϲ, καὶ πάλιν διαλιπὼν ὡϲ οὐκ ἐκ δικαίου πολλὴν οὐϲίαν ϲυνείλεκται· ἃ εἰϲ μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐϲτὶν εἴτε πολλὰ οὗτοϲ κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντοϲ κακοήθ(ε)ια καὶ ὑπόληψιϲ εἰϲ τοὺϲ δικαϲτὰϲ οὐ δικαία, ὡϲ ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν ϲχοίηϲαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματοϲ καὶ πότε[ρον] ἀδικεῖ ὑμᾶϲ ὁ κριν[όμ]ενοϲ ἢ οὔ. Κακ[ῶϲ] μοι δοκεῖϲ εἰδ[έν]αι, ὦ Πολύευκτε, ....καιοιταυταγι ............ὅτι οὔτε πόλιϲ ἐ]ϲτὶν οὐδ[εμία] ἐ[ν] τῇ οἰκου- | μένῃ οὔτε μόναρ- XLIII χοϲ οὔτε ἔθνοϲ μεγαλοψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, — τοὺϲ δὲ ϲυκοφαντουμένουϲ τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ ἄθρουϲ οὐ προΐεται ἀλλὰ βοη-

---

25 τω A. — 26 οϲοω|ου A a pr. m. habuit; sed alterum ο in υ correctum est.

Col. XLII. 3 τωλογω A. — 7 pro εκ antea εδ scriptum fuit. — 8 ϲυνιλεκται A pr. — 20 Verba καὶ — οὔ cum antecedentibus cohaerere primi intellexerunt Cb. K.. — 23 κακῶϲ ἐμοὶ Cb. Cp.; κακῶϲ δ' ἐμοὶ K. C., quod spatium excedere videtur. — 25 sqq. lectio incertissima ideoque locus inter desperatos habendus est. V. 25 Bb. ἀ[λλ' οἱ δί]καιοι; id. ap. JBL. ἀ[λλ' οἱ βάρ]βαροι. V. 26 ου certum est, atque etiam οτι diserte in A legi Bb. affirmat; itaque ταῦτα γι[νώϲκουϲι π]άντεϲ ὅτι restituit; at Sh.: ταῦτά γ' ἴ[ϲαϲι κά]λλιϲθ' ὅτι. Alii alia tentaverunt: Cb.: ....καίτοι ταῦτά γ' ἴϲαϲι πάντεϲ ὅτι οὔτε δῆμόϲ ἐϲτιν οὐδεὶϲ ἐν τῇ οἰκ. —; K.: καίτοι οἱ ταῦτα γινώϲκοντεϲ πλεῖϲτοι — ὅτι οὐδεμία πόλιϲ ἐϲτὶν οὐδαμοῦ ἐν τῇ οἰκ.; L. [ὥϲπερ] καὶ οἱ ταὐτὰ ἤ[δη ϲοι γνόν]τεϲ, ὅτι οὔτε [πόλιϲ] ἐϲτὶν οὐδ[εμία — (hoc cum JBL.); Cp.: ἅ[μα δὲ] καὶ οἱ ταὐτὰ π[οιήϲ]αντεϲ, ὅτι οὔτε δῆμόϲ ἐϲτιν οὐδεὶϲ —; denique MO.: καὶ ϲὺ καὶ οἱ ταὐτὰ γινώϲκοντεϲ πάντεϲ et deinde sicut K.

Col. XLIII. 1 οικου|μενη A. — 2 ουτεθεωνοϲ A pr.;

θεῖ. — καὶ πρῶτον μὲν Τίςιδος τοῦ Ἀγρυλῆθεν ἀπογράψαντος τὴν Εὐθυκράτους οὐςίαν ὡς δημοςίαν οὖςαν, ἣ πλεόνων ἢ ἑξήκοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπιςχνουμένου τὴν Φιλίππ[ου] καὶ Ναυςικλέους ἀ[πο]γράψειν καὶ λέγο[ντ]ος ὡς ἐξ ἀναπογρ[άφ]ων μετάλλων π[επλ]ουτήκαςι, τοςο[ῦτον οὗ]τοι ἀπέλιπον [τοῦ πρ]οςέςθαι τινὰ τ[οιοῦτο]ν λόγον | XLIV ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥςτε τὸν ἐγχειρήςαντα ςυκοφαντεῖν αὐτοὺς εὐθὺς ἠτίμωςαν, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταδόντες. — τοῦτο δ', εἰ βούλει, τὸ πρῴην ὑπὸ τῶν δικαςτῶν πραχθὲν τοῦ ἐξελθόντος μηνὸς πῶς οὐ μεγάλου ἐπαίνου ἄξιόν ἐςτι; — φήναντος γὰρ Λυςάνδρου τὸ Ἐπικράτους μέταλλον τοῦ Παλληνέως ἐντὸς τῶν μ[έτ]ρων τετμημένον, ὃ εἰργάζετο μὲν ἤ[δ]η τρία ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλους[ιώ]τατοι σχεδόν τι τῶ[ν] ἐν τῇ πόλει, — ὁ δὲ Λ[ύςα]νδρος ὑπιςχνεῖτ[ο τρι]ακόςια τάλαντα εἰς[πράξει]ν τῇ πόλει· τ[οςαῦτα γ]ὰρ εἰληφέναι α[ὐτοὺς ἐ]κ | XLV τοῦ μετάλλου· — ἀλλ' ὅμως οἱ δικαςταὶ οὐ πρὸς τὰς τοῦ κατηγόρου ὑποςχέςεις ἀποβλέποντες, ἀλλὰ πρὸς τὸ δίκαιον ἔγνωςαν ἴδιον εἶναι τὸ μέταλλον, καὶ τῇ αὐτῇ ψήφῳ τάς τε οὐςίας αὐτῶν

---

ουτεεθνος A corr. — 19 υπιςχο primum scriptum esse videtur; sed libr. statim O in N mutavit. — 26 τοῦ προςέςθαι Sp. JBL. L. C.; προςέςθαι contra spatium Sw. Cp. Ceterum A pr. ..οεςθαι; Cb. προςίεςθαι, Patakis προςήςεςθαι emendare volunt. — 27 τοιοῦτον (Bb. Sw. al.) melius spatium explet quam τούτων (Sp. JBL.).

Col. XLIV. 3 ενχειρ. A. Sw. — 5 ητιωςαν A pr. — 8 προιηn A pr. — 16 παλαηνεως A. — 18 ηργάζετο A; εἰργάζετο Cb. JBL. Cp. — 20 ετηι A. — 24 υπειςχνειτο A. — 25 εἰςπράξειν Sw. — 27 αὐτοὺς Cb. Sw.[1] L. C.; Bb. αὐτόν.

Col. XLV. 5 αλα A pr. — 8 sq. αυτηψηφω A. — 9 αυτω̄ A. —

ἐν ἀcφαλείᾳ κατέcτηcαν καὶ τὴν ὑπόλοιπον ἐργαcίαν τοῦ μετάλλου ἐβεβαίωcαν. τοιγαροῦν αἱ καινοτομίαι πρότερον ἐκλελ(ε)ιμμέναι διὰ τὸν φόβον νῦν ἐνεργοὶ καὶ τῆc πόλεωc αἱ πρόcοδοι αἱ ἐκεῖθεν πάλιν αὔξονται, ἃc ἐλυμήναντό τινε[c τῶν ῥητόρων ἐξ[απατήcαντεc τὸν δ[ῆμον καὶ δαcμολ[ογήcαντεc τοὺc εκ.... — ἔcτι γάρ, ὦ ἄνδρ[εc δικαcταί, οὐχ οὗτοc [ἄριcτοc πολίτηc, ὅ[cτιc |

XLVI μικρὰ δοὺc πλείω βλάπτει τὰ κοινά, οὐδ' ὅcτιc εἰc τὸ παραχρῆμα ἐξ ἀδίκου πορίcαc κατέλυcε τῆc πόλεωc τὴν ἐκ δικαίου πρόcοδον, ἀλλ' ὅτῳ μέλει καὶ τῶν εἰc τὸν ἔπειτα χρόνον ὠφελίμων τῇ πόλει καὶ τῆc ὁμονοίαc τῶν πολιτῶν καὶ τῆc δόξηc τῆc ὑμετέραc· ὧν ἔνιοι οὐ φροντίζουcιν, ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρουc φαcὶ τούτουc πορίζειν, ἀπορίαν ἐν τῇ πόλει παραcκευάζοντεc· — ὅταν γὰρ *ᾖ φοβερὸν τὸ κτᾶcθαι καὶ φείδεcθαι, τίc βουλήcεται κινδυνεύειν; — Τούτουc μὲν οὖν ἴcωc οὐ ῥᾴδιόν ἐcτι κωλῦcαι ταῦτα πράττειν, — ὑμεῖc δέ, ὦ ἄνδρεc δικα- |

XLVII cταί, ὥcπερ καὶ ἄλλουc πολλοὺc cεcώκατε τῶν πολιτῶν ἀδίκωc εἰc ἀγῶναc καταcτάνταc, οὕτω καὶ Εὐξενίππῳ βοηθήcατε —

---

10 αcφαλεια A. ἀcφαλεῖ Cb. — 15 καινοτομίαι (αἱ) πρότ. ἐκλ. Cb., probantibus Sw.[1] JBL. Cp. — 17 ἐνεργοί (Sw.[1] al.) et spatio satisfacit et sensui, quare vestigia litterarum quae post οι conspiciuntur signi illius 7 esse cum Sw. et C. putanda sunt. Bb. ἐνεργοῦνται, quod spatium excedit; Cb. ἐνεργοί εἰcι siglo scriptum fuisse dicit. — 25 εκ litterae nisi diserte exstarent, reciperem quod Sw. proposuit, Cb. probavit, ἔχονταc. Ἐκεῖθεν JBL. Cp. L.; ἐκεῖ K., ἐκτημένουc Sw. in schol., quorum neutrum cum spatio convenit. ἐκτενεῖc ci. C., ἐκλύτουc L.[1]

Col. XLVI. 1 πλειωι A. — 9 ωφελιμω̄ A. — 15 εργαζομενω̄ A. — 18 τῇ πόλει remoto ἐν Bakius ap. Cb., quod probat K. — 20 ηv A; corr. Bb.

Col. XLVII. 4 καθεcταντac A pr. —

καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸϲ ἀξίῳ καὶ εἰϲαγγελίᾳ τοιαύτῃ, ἣ οὐ μόνον οὐκ ἔνοχόϲ ἐϲτιν, ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺϲ νόμουϲ ἐϲτὶν εἰϲηγγελμένη καὶ πρὸϲ τούτοιϲ ὑπ' αὐτοῦ τοῦ κατηγόρου τρόπον τινὰ ἀπολελυμένη. — εἰϲήγγελκε γὰρ αὐτὸν Πολύευκτοϲ λέγειν μὴ τὰ ἄριϲτα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰϲ παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ τῷ Ἀθηναίων. εἰ μὲν οὖν ἔξωθεν τῆϲ |
LVIII πόλεώϲ τιναϲ ἠτιᾶτο εἶναι, παρ' ὧν τὰ δῶρα εἰληφότα Εὐξένιππον ϲυναγωνίζεϲθαι αὐτοῖϲ, ἣν ἂν αὐτῷ εἰπεῖν ὅτι, ἐπειδὴ ἐκείνουϲ οὐκ ἔϲτι τιμωρήϲαϲθαι, δεῖ τοὺϲ ἐνθάδε *αὐτοῖϲ ὑπηρετοῦνταϲ δίκην δοῦναι. — νῦν δὲ Ἀθηναίουϲ φηϲὶν εἶναι, παρ' ὧν τὰϲ δωρεὰϲ εἰληφέναι αὐτόν. — εἶτα ϲὺ ἔχων ἐν τῇ πόλει τοὺϲ ὑπεναντία πράττονταϲ τῷ δήμῳ οὐ τιμωρῇ ἀλλ' Εὐξενίππῳ πράγματα παρέχειϲ; — Βραχὺ δ' ἔτι εἰπὼν περὶ τῆϲ ψήφου ἧϲ ὑμεῖϲ μέλλετε φέρειν καταβήϲομαι. — ὅταν γὰρ μέλλητε, ὦ ἄνδρεϲ δικαϲταί, διαψηφίζεϲθαι, κελεύετε |
ὑμῖν τὸν γ[ρ]αμματέα XLIX
ὑπαναγνῶναι τήν τε εἰϲαγγελίαν καὶ τὸν νόμον τὸν εἰϲαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἡλιαϲτικόν· καὶ τοὺϲ μὲν λόγουϲ ἁπάντων ἡμῶν ἀφέλετε, — ἐκ δὲ τῆϲ εἰϲαγγελίαϲ καὶ τῶν νόμων

---

7 Desideres participium aliquod; sed comparat Cb. Dem. c. Apatur. 42; Arist. Ach. 55. — 10 ειϲαγγελια A pr., ειϲαγγελιαι corr. — τοιαυτηιου A pr.; corr. H! supra versum cum spiritus signo addidit. — 20 sq. τω utrobique A.

Col. XLVIII. 1 ητιατο A. — 5 ηεν A pr. — 9 αυτουϲ A; αὐτοῖϲ Bb. Sw. (qui tamen dubitat an αὐτοῦ verius sit) Cb. L.; C. codicis lectionem defendit. — 18 δημω A. — τειμωρη A.; τιμωρεῖ Cb. — 19 ευξενιππω A. — 21 βραχὺ δέ τι Bb. JBL.; βρ. δ' ἔτι Cb. Sw.[1] L. C. Cp.

ϲκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῇ δίκαιον καὶ εὔορκον εἶναι, τοῦτο ψηφίϲαϲθε. — Ἐγὼ μὲν οὖν ϲοί, Εὐξένιππε, βεβοήθηκα ὅϲα εἶχον. λοιπὸν δ' ἐϲτὶ δεῖϲθα[ι] τῶν δικαϲτῶν καὶ τοὺϲ φίλουϲ παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεϲθαι.

Ὑπὲρ Εὐξενίππου
εἰϲαγγελίαϲ
ἀπολογία πρὸϲ
Πολύευκτον.

---

Col. XLIX. 12 δοκη A. — 14 τουτοτοψηφιϲαϲθαι A pr. — 18 δειϲθαι exstare in A. Bb. ap. Sw.[1] testatur. — 21 ταπαιδια A corr.; a pr. m., ut Bb. in add. et Sw. putant, ταδικαια fuit, sed omnia diligentissime inducta sunt.

# IV.

## [ЄΠΙΤΑΦΙΟϹ.]

Pap. Stobartianus.

Τῶν μὲν λόγων τ[ῶν μελ-
λ]όντων ῥηθήϲεϲ[θαι ἐπὶ
τῷδε τῷ τάφῳ [περί τε
Λεωϲθένουϲ τοῦ ϲτ[ρατη-
γοῦ καὶ περὶ τῶν ἄ[λλων
τῶν μετ᾽ ἐκείνου [τετε-
λ]ευτηκότων ἐν τ[ῷ πο-
λέμῳ, ὡϲ ἦϲαν ἄν[δρεϲ
ἀ]γαθοί, μα..........
..ρονοϲοι..........
..ῳ τὰϲ π..........
..ϲ ἀνθρω[π..........
..ονπωκα..........
..ϱγακε[[ν]]ω..........
ἐν]αντίαι ω..........
γ]εγεννη..........
ἄνδραϲ..........
τετελευ[τηκ..........
οὔτε πρ..........
.οτ..........
(desunt vers. —) |
(desunt vers. —) II
....επει........
καὶ μάλιϲτα [φοβοῦ-
μαι, μή μοι ϲυμ[βῇ τὸν
λ]όγον ἐλάττ[ω φαί-

---

Inscriptio in papyro nusquam legitur.

Col. I. Neque a dextra neque a sinistra parte margo usquam servatus est; consentiunt tamen nunc paene omnes in principio versuum nonnisi unam duasve litteras deesse. — 1 περὶ] τῶν μὲν Bb.; Τῶν μὲν Cb. S. Sp. Bb[1]. — 3 ταφω.. A[1]. — περὶ] Λ. Bb.; περί τε Cb. S. — 9 μά[ρτυρεϲ Cb., qui etiam sequentia restituere conatur (p. 23): ὁ χρ]όνοϲ ὁ ϲ[ύμπαϲ — — οὐδὲν ἔργ]ον πω κά[λλειον ἑ]όρακεν. — 11 ταϲπ[λα Cp. — 14 N in A[1] transfixum est, unde Bb. ἔργα καὶ ω.... — 16 γ]εγεννη[μέν... solemnis error librarii esse videtur; cf. II, 6.

Col. II. Possis continuationem eiusdem columnae putare: efficientur, si componas, versus XXXV, maior sane numerus eo quem in col. III et IV reperimus; sed spatii nihilo plus hi XXXV vs. occupant quam illi XXXIII. — 2 δ] καὶ S. — φοβοῦμαι Bb. — 4 ἐλαττω A[1]. — γενέϲθαι

ν]εϲθαι τῶν ἔρ[γων τῶν γεγενη[μένων. πλὴν κατ' [ἐκεῖνό γε πάλι(ν) θα[ρρῶ, ὅτι τὰ ὑπ' ἐμοῦ κ[αταλειπόμενα *ὑμεῖϲ οἱ [ἀκούοντεϲ πρ[ο]ϲθήϲετε· οὐ γὰρ ἐ(ν) τοῖϲ τυχοῦϲιν οἱ λόγοι ῥηθήϲονται, ἀλλ' ἐν αὐτοῖϲ τοῖ(ϲ) μάρτυϲι τῶν (ἐκ)είνοι[ϲ |

III π]επραγμένων. Ἄξιον δέ ἐϲ]τιν ἐπαινεῖν (τ)ὴν μὲν πόλ]ιν ἡμῶν (τ)ῆϲ προαιρέϲεω]ϲ ἕνεκεν, τὸ προελέϲθ]αι ὅμοια καὶ ἔτι ϲεμνό]τερα καὶ καλλίω *τῶν πρότ]ερον αὐτῇ πεπραγμέ]νων, τοὺϲ δὲ τετελευ]τηκόταϲ τῆϲ ἀνδρείαϲ] τῆϲ ἐν τῷ πολέμῳ, τὸ μὴ καταιϲχῦναι τὰϲ τῶν προγόνων ἀρετάϲ· τὸν δὲ ϲτρατηγὸν Λεωϲθένη διὰ ἀμφότερα· τῆϲ τε γὰρ προαιρέϲεωϲ εἰϲηγητὴϲ τῇ πόλ(ε)ι ἐγένετο καὶ τῆϲ ϲτρατείαϲ ἡγεμὼν τοῖϲ πολίταιϲ κατέϲτη. — Περὶ μὲν οὖν τ]ῆϲ πόλεωϲ διεξιέναι τ]ὸ καθ' ἕκαϲτον ⟦τ⟧ῶν πρότε]ρον (εὐηργέτηκεν) πᾶϲαν τὴν Ἑλλάδα] οὔτε ὁ χρόνοϲ ὁ παρὼ]ν ἱκανόϲ, οὔτε ὁ καιρὸϲ] ἁρμόττων τῷ μακρ]ολογεῖν, οὔτε ῥᾴδιον] ἕνα ὄντα τοϲαύταϲ] καὶ τηλικαύταϲ πράξειϲ] *ἐπελθεῖν καὶ μνη-

---

Bb.; φαίνεϲθαι K. Cb. S. — 6 γεγεννη[μενων A[1]. — 7 κατ' ἐκεῖνό γε πάλιν Sp. Cb. S. — 9 κ[αταλει]πόμενα Bb.; παραλειπόμενα S. invito codice. — 10 υμειν A. — 14 αυτο$^{c}$ι A[1]. — 15 μαρτυϲιτν A[1] pr.; Ν in Ω correctum est. Deinde νειvoï, quae puncta cum S. reliquias C litterae supra scriptae putare possis. Itaque ἐκείνοιϲ S. Sp. C. Bb.[1]; ἐκεῖ Bb.

Exstat etiam aliud nescio an harum columnarum fragmentum: αλλο | πολλ | εν.

Col. III. 1 δ' ἐ|ϲ]τὶν K. Cb.; δέ ἐϲτιν S. — 4 τοῦ pro τὸ V. — 6 in fine π$^{v}$τω A[1]. — 11 V. τοῦ μή. — in fine τα$^{c}$ A[1]. — 18 πολειταιϲ A[1]. — 21 .οκατ A[1] pr. sec. Sch., .οκαθ corr. — 22 ρων A[1] pr. — post πρότ. Bb. πεπραγμένων κατὰ addit; similiter Cb.: ἀνὰ πᾶϲαν τ. Ἑ. πεπραγμένων. K.: πρότ., οἷϲ ϲώζουϲα διετέλει πᾶϲαν τ. Ἑ.; Cp. τῶν πρότ. διαϲωϲάντων π. τ. Ἑ.; S.: ἃ καθ' ἕκ. τῶν πρ. π. τ. Ἑ. εὐηργέτηκεν, quod rec. T, nisi quod pro ἃ ὃ scripsit, secutus Bb. in postscr. — 25 τω A[1]. — 28 τηλικαυτ.ϲ A[1] pr., supra scripto α. — 29 απελ-

μο]νεῦϲαι. ἐπὶ κεφαλαί-
ων δ'] οὐκ *ὀκνήϲω εἰπεῖν
περ]ὶ αὐτῆϲ· — ὥϲπερ
γὰρ] ὁ ἥλιοϲ πᾶϲαν ⟦πᾶ-
ϲαν⟧ |
IV τὴν οἰκου[μένην] ἐπέρ-
χεται, — τὰ[ϲ μὲν] ὥραϲ δι-
ακρίνων [εἰϲ τὸ π]ρέπον
καὶ καλῶ[ϲ πάντα καθι]ϲτάϲ,
τοῖϲ δὲ............ει
ικεϲθ...........ων
ἐπιμ[ελούμενοϲ κα]ὶ γε-
νομένοιϲ]......ϲ καὶ
....ϲ κα[ὶ τῶν ἄ]λλων
ἁπά]ντων τῶν [εἰ]ϲ τὸν
β[ίο]ν χρηϲίμων· — οὕτωϲ
κα[ὶ] ἡ πόλιϲ ἡμῶν διατε-
λε[ῖ τοὺϲ] μὲν κακοὺ(ϲ) κο-
λά-
ζο[υϲα, τοὺϲ] δὲ δικαίο(υ)ϲ
........., τὸ δὲ ἴϲον ἀν-
τὶ τῆϲ πλεονε]ξίαϲ ἅπαϲιν
φυλάττουϲα, τ]οῖϲ δὲ ἰδι-
οιϲ κινδύνοιϲ κα]ὶ δαπά-
ναι[ϲ κοινὴν ἄδει]αν τοῖϲ
Ἕλλη[ϲιν παραϲκευάζου-
ϲα. — [ἀλλὰ περὶ μὲ]ν τῶν
κοινῶ[ν]...........εωϲ
ὥϲπερ [προεῖπον κ]αταλ(ε)ί-

θειν A¹; ἐπελθεῖν Bb.; διελθεῖν S. — 30 sq. κεφαλαί[ου] Bb.; κεφαλαί[ων] Cb. S. — δὲ] Bb., δ'] S. — ωκνηϲω A¹. — 33 ὁλιοϲ (η supra ο) A¹.

Col. IV. — 3 [ἀεὶ κατὰ τὸ π]ρέπον Bb.; κατὰ τρόπον Cb.; καὶ εἰϲ τὸ πρέπον S. — 4 καὶ καλο[ὺϲ καιροὺϲ καθι]ϲτάϲ Bb.; καὶ καλῶ[ϲ πάντα καθ. Cb.; καὶ καλὸν πάντα καθ. S. Ductus ambiguus in A¹ vel O vel Ω indicare potest. Ceterum ρεπο (ν supra ο) et ϲτα (ϲ supra α) A¹. — 5 τοιϲδεϲ A¹ sec. Sch. — 6 ικεϲτ Bb., ικεϲιτ Cp.; ικεοιτ T. forsitan ἵκεϲθ. — 7 (α)ιγε Bb. — 8 εκαι T. Cp. — 9 ονα Bb. K.; ον S., unde hic: καὶ [ἀφθ]ον[ίαν τῶν ἄλ]λων. — πά]10 ντων Bb.; ἁπά]ντων rectius Cb. S. — 13 κολ (α supra λ) A¹. — 14 δικαιοϲ A¹ sec. Bb.; δικαιομ legit K., δικαιον T. — 15 προτιμῶϲα Bb., τιμῶϲα Cb. Bb¹. — 16 ἀνθρώποιϲ καὶ ἀ]ξίαϲ ἅπαϲιν [εὐεργεϲίαϲ] οἷϲ δεῖ δια[νέμουϲα Bb.; ἀμοιβὰϲ pro εὐεργ. Cb. Bb¹. — 17 sqq. cf. Lyc. § 104. — 19 δαπάναϲ [τὰϲ καθ' ἡμέρ]αν Bb. (δ. [εἰϲ τὴν ἐλευθερί]αν F.); sed δαπαναι A¹ sec. K. T. — 20 παραϲκευ]άζουϲα Bb. — 21 περὶ μὲν οὖ]ν τ. Bb. ἐπεὶ δὲ περὶ τῶν K¹. ἕκαϲτον μὲν οὖν M. ceteri Bb. secuti sunt. — 22 εω (ϲ supra ω) A¹. τῶν κοινῶν ἔργων τῆϲ πόλεωϲ Bb. K. M. πράξεων pro ἔργων F. Cp. κοινῶν τῶν τῆϲ πόλ. S. T. κοινῶν τὸν λόγον ταχέωϲ C. — 23 ὥϲπερ [ἐν βραχεῖ εἴρητ]αι †αλιφω Bb. ὥϲπερ [εἶπον φρά]ϲαι χαλεπόν K. ὥ. [χρὴ δηλῶ]ϲαι (δοκῶ vel simile aliquid) S. Cp¹. T., qui ἐλπίζω pro δοκῶ ponit. ὥ. εἰκὸϲ φρά]ϲαι παραλείψω M. ὥ. [εἶπον,

* ψω, πε[ρὶ δὲ Λεωcθέν]ουc καὶ
τῶν ἄ[λλων τοὺc λόγ]ουc ποι-
ήcο*μ*[αι. — ἀπορ]ῶ δὲ πόθεν
ἄρξωμα[ι λέγων] ἢ τίνοc
πρῶτον μνηcθῶ. — πότε-
ρα περ[ὶ] τοῦ γένουc αὐτῶν
*ἑκάcτου διεξέλθω; ἀλλ' εὔ-
ηθεc εἶναι ὑπολαμβάνω·
τὸ(ν) μὲν (γὰρ) ἄλλουc *τινὰc ἀν-
θρώπουc ἐγκωμιάζοντα, |
V οἳ πολλαχόθεν εἰc μίαν
πόλιν ⟦c*υ*ν⟧ cυνεληλυθότεc
οἰκοῦcι γένοc ἴδιον ἕκαc-
τοc cυνειcενεγκάμενοc,
τούτων μὲν δεῖ κατ' [ἄ]νδρα
γενεαλογεῖν — ἕκαcτον·
περὶ δὲ Ἀθηναίων ἀνδρῶ*ν*
τοὺ(c) λόγου(c) ποιούμενο*ν*, οἷc
ἡ κοινὴ γένεcιc *α*[ὐτόχ]*θ*οcιν
οὖcιν ἀνυπέρβλητ[ον] τὴν
εὐγένειαν ἔχει, πε[ρ]ίεργον
ἡγοῦμαι εἶναι ἰδίᾳ [τὰ] γένη
ἐγκωμιάζειν. — ἀλλὰ [πε]ρὶ τῆc
παιδείαc αὐτῶν ἐπι[μνη]cθῶ,
καὶ ὡc ἐν πολλῇ *c*[ωφρο-
cύνῃ παῖδεc ὄντ[εc ἐτρά-
φηcαν, καὶ *ἐπαιδ[εύθηcαν
*ἅπερ εἰώθαcι ν[έουc παιδεύ-

---

ἐάcω] καὶ.... Cp. ῶ. προείρηται καταλείψω C. — και vel cαι (hoc Sch.) in $A^1$ fuisse videtur; pro αλι sunt qui legant αμ. — 24 φω $A^1$. — περὶ δὲ Λεωcθένουc Bb.; περὶ Λ. K. Cb. — 25 τῶν ἄλλων ἤδη τοὺc λόγουc Bb.; om. ἤδη S. — 26 ποιηcόμενοc ἐνθά]δε S.; ποιήcομαι. νῦ]ν δὲ Bb.; ποιήcομαι. ἀπορ]ῶ δὲ Cb. Sp. JBL. In $A^1$ (cf. Sch.) dimidia pars litterae Ω servata est, minus rotunde tamen exarata. ποθε (superscr. ν) $A^1$. — 27 ἐπαινῶν Bb.; αὐτῶν K.; λέγειν Cb. $Bb^1$; λέγων S. C. — 28 πρώτου corrigit Cb. — 30 εκαcτω ut videtur $A^1$. — 31 ηθεcιναι (superscr. ε) $A^1$. — 32 τὸν μὲν γὰρ Sch. ap. Bb. S.; τὸ μὲν Cp. C.; cf. V, 5. τινουc $A^1$, sed O et Υ transfixa.

Col. V. 3 ἴδιον $A^1$. — 5 τουτων $A^1$; τοῦτον Cb. S. — δὴ pro δεῖ C. Cp. — αντρα $A^1$ pr. — 8 ποιούμενοc corr. Cb. probante S. p. 56. — 12 ιδια.. $A^1$. — 17 επεδ.... $A^1$; emend. Bb. (ἐπεδείξαντο C.) — 18 οπερ $A^1$. — εἰώθαcι ν[έουc παιδεύ]ειν Bb. εἰώθαcιν παιδεύειν S. οἱ ἄλλοι ποιεῖν Lightf. ap. Bb. in postscr. ἀπὸ νέων ποιεῖν C. οἱ ἄλλοι ἐπαινεῖν

ειν; — ἀλλ' οἶμαι π[άνταϲ ὑμᾶϲ εἰδέναι ὅτι τούτο[υ ἕνεκα δεῖ τοὺϲ παῖδαϲ παιδευθ[ῆναι, ἵνα ἄνδρεϲ ἀγαθοὶ γ[ένωνται· τοὺϲ δὲ γεγενη[μένουϲ ἐν τῷ πολέμῳ ἄνδρ[αϲ οὕτωϲ ὑπερβάλλονταϲ τῇ ἀ[ρετῇ, πρόδηλόν ἐϲτιν ὅτι πα[ῖδεϲ ὄντεϲ καλῶϲ ἐπαιδεύ[θηϲαν. — ἁπλούϲτατον ο[ὖν ἡγοῦμαι εἶναι τὴν ἐν τ[ῷ πολέμῳ διεξελθεῖν ἀρετὴν καὶ ὡϲ πολλῶν ἀγαθῶν αἴτιοι γεγένη(ν)ται τῇ *πατρίδι καὶ τοῖϲ ἄλλοιϲ Ἕλληϲιν. — ἄρξομαι δὲ πρῶτον ἀπὸ τοῦ ϲτρατηγοῦ. καὶ γὰρ δίκαιον. Λεωϲθένηϲ γὰρ ὁρῶν τὴν Ἑλλάδα πᾶ[ϲ]αν τεταπεινωμένην καὶ [. . . κατ]επτη- |
χυ]ῖαν, κατεφθαρμένην ὑπὸ VI
τῶν] *δωροδοκούντων παρὰ Φιλίπ]που καὶ Ἀλεξάνδρου κατὰ τῶν] πατρίδων τῶν αὑτῶν, καὶ τ]ὴν μὲν πόλιν ἡμῶν δεομέ]νην ἀνδρὸϲ, τὴν δ' *Ἑλλάδα πᾶ]ϲαν πόλεωϲ, ἥτιϲ προϲτῆναι δυ]νήϲεται τῆϲ ἡγεμονίαϲ, ἐπέδ]ωκεν *ἑαυτὸν μὲν τῇ πατρί]δι, τὴν δὲ πόλιν τοῖϲ Ἕλληϲιν ε]ἰϲ τὴν ἐλευθερίαν· καὶ ξε-

---

F. Cp. ἄνδρεϲ ἀϲκεῖν T. (sed αϲκ—ειν ne huic quidem librario iure imputaveris). — 19 [πάνταϲ] Bb.; πάνταϲ ὑμᾶϲ Cb. — 21 παιδευθ vel παιδευο A¹; unde τούτου ἕν. δεῖ τ. π. παιδευθῆναι Bb.; τ. ἕν. τ. π. παιδεύομεν S. M. Bb¹; — δεῖ — παιδεύε[ϲθαι F. — 22 γ[ένων]ται Bb.; γ[ίνων]ται S. — 23 γεγεννη[μενουϲ A¹. — 24 ἄνδρ[αϲ C. K. Cp. Cb. — οὕτωϲ om. omnes. — 28 ἁπλ. δ[ὲ Bb.; ἁ. δὴ K.; sed littera fuit potius O, unde o[ὖν Cb. S. Bb¹. — 33 πατριτι A¹. — 38 τεταπ. καὶ [τὴν] εὐη|μερ]ίαν Bb.; sed ЄΠΤΗ diserte scriptum est. τ. καὶ [τὴν δόξα]ν τὴν | παλα]ιὰν Cb. nimis audacter. καὶ κατεπτηχυῖαν Classen ap. K. S. Bb¹, egregie nisi quod spatio non sufficit; itaque puncta addidi.

Col. VI. 2 δωροδονουντων A¹. — 6 ολλα[δα A¹. — 8 δυνήϲεται Sch. Bb¹. — 9 ....ωκενμενεναυτον A¹. ἀπέδωκεν ἑαυτὸν μὲν Bb.; ἐπέδωκεν μὲν ἑαυτὸν K.; ἐπέδ. ἑ. μὲν

νικὴν μὲν δύναμιν (cυ)cτηcάμενοc, τῆc δὲ πολιτικῆc ἡγεμὼν καταcτάc, τοὺc πρώτουc ἀντιταξαμένουc τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ Βοιωτοὺc καὶ Μακεδόναc καὶ Εὐβοέαc καὶ τοὺc ἄλλουc cυμμάχουc αὐτῶν ἐνίκηcε μαχόμενοc ἐν τῇ Βοιωτίᾳ. ἐντεῦθεν δ' ἐλθὼν εἰc Πύλαc καὶ κατα⟦λα⟧λαβὼν τὰc παρ]όδουc, δι' ὧν καὶ πρότερον ἐπὶ τ]οὺc Ἕλληναc οἱ βάρβαροι ἐπο]ρεύθηcαν, τῆc μὲν ἐπὶ τὴν] Ἑλλάδα πορείαc Ἀντίπ]ατρον ἐκώλυcεν, αὐτὸν δὲ κα]ταλαβὼν ἐν τοῖc τόποιc τούτοι]c καὶ μάχῃ νικήcαc ἐπολιόρ]κει κατακλείcαc εἰc Λαμίαν· Θε]τταλοὺc δὲ καὶ Φωκέαc καὶ Αἰ]τωλοὺc καὶ τοὺc ἄλλουc ἅπανταc τοὺc ἐν τῷ τόπῳ cυμμάχουc ἐποιήcατο, καὶ ὧν Φίλιπποc καὶ Ἀλέξανδροc ἀκόντων ἡγούμενοι ἐcεμνύνοντο, τούτων Λεωcθένηc ἑκόντων τὴν ἡγεμονίαν ἔλαβεν. cυνέβη δ' αὐτῷ τῶν μὲν πραγμάτων ὧν προε[ί]λετο κρατῆcαι, |
τῆc δ' εἱ[μαρ]μένηc *οὐκ ἦν VI
περιγενέ[cθαι.] — δίκαιον δ' ἐcτὶν μὴ μ[όνον] ὧν ἔπραξεν Λεωcθέν[ηc τὴν] χάριν ἔχειν αὐτῷ π[ᾶcαν, ἀ]λλὰ ʼκαὶ τῆc ὕcτερον [γενομέν]ηc μάχηc

---

S. Cb. — 12 cυcτηcάμενοc Bb.; κτηcάμ. K. — 13 πολ$^{ε}$ιτικηc A$^1$. — 14 πρωτου|cαντ. A$^1$. — 18 Εὐβοᾶc corr. Cb. probante S. p. 58. — 20 μαχόμενοc A$^1$ corr. sec. Sch., Cb., S.; μαχομένουc A$^1$ pr. — 23 εἰc]όδουc Bb.; παρόδουc Sp. probante S. l. c.

Ρ litterae vestigium agnoscit Sch. — 33 cυμμαχου$^{c}$ A$^1$. — 34 φιλιπποc — A$^1$. — 36 εcεμνυοντο A$^1$ pr. — τουτωνλε — A$^1$. — 38 cυν.βη A pr.; Ε supra vers. additum.

Col. VII 1 ουγην A$^1$. — 4 Λεωcθ. αὐτὸc Bb.; Λ. τότε Sh. ap. Bb.; Λ. ἔτι ζῶν K. parum spatii ratione habita. τούτων ὑμῖν ἕξω τὴν χάριν Lys. 24, 27. — 5 πολλήν Bb.; πλείcτην Classen ap. K. — 6 γενομένηc Bb.; γεγενημένηc S.

μετὰ τ[ὸν ἐκείνο]υ θάνατον καὶ τῶν [ἄλλων ἀγα]θῶν τῶν ἐν τῇ στ[ρατείᾳ τ]αύτῃ συμβάντω[ν τοῖς Ἕλ]λησιν· ἐπὶ γὰρ τοῖς ὑπὸ [Λε]ωσθένους (τε)θεῖσιν θεμελίοις οἰκοδομοῦσιν οἱ νῦν τὰς ὕστερον πράξεις. — Καὶ μηδεὶς ὑπολάβῃ με τῶν ἄλλων πολιτῶν μη]δένα λόγον ποιεῖσθαι, ἀλλὰ] Λεωσθένη *μόν(ον) ἐγκωμιάζ]ειν· συμβαίνει γὰρ τὸν Λε]ωσθένους ἔπαινον ἐπὶ ταῖ]ς μάχαις ἐγκώμιον καὶ τῶν ἄλ]λων πολιτῶν εἶναι. το[ῦ μὲν] γὰρ βουλεύεσθαι κα[λῶς ὁ στρα]τηγὸς αἴτιος, τοῦ δὲ ν[ικᾶν μαχ]ομένους οἱ κινδυν[εύειν ἐθ]έλοντες τοῖς σώμασ[ιν· — ὥστ]ε ὅταν ἐπαιν[ῶ τὴν γ]εγονυῖαν νίκην, ἅμα τ[ῇ Λε]ωσθένους ἡγεμονίᾳ καὶ [τὴν τ]ῶν ἄλλων ἀρετὴν ἐγκωμ[ιάζ]ω. — τίς γὰρ οὐκ ἂν δικα[ίως] ἐπαινοίη τῶν πολιτῶ[ν το]ὺς ἐν τῷδε τῷ πολέμῳ [τε]λευτήσαντας, οἳ τὰς *ἑα[υτῶ]ν ψυχὰς ἔδωκαν ὑπὲρ τῆ[ς τῶ]ν Ἑλλήνων ἐλευθερίας, [φα]νερωτάτην ἀπόδειξιν τ[αύτη]ν ἡγούμενοι εἶναι τοῦ [βούλ]εσθαι τῇ Ἑλλάδι τὴν] ἐλ[ευθερ]ίαν | περιθεῖναι, τὸ μαχόμ[ενοι VIII

— 7 τούτου Bb.; ἐκείνου M. probante Sch. — 8 τῶν πάντων M.; τῶν ἄλλων Bb. — 15 υπολαβημε A[1]. — 17 εωσθενημενεγκω A[1]. ἐν τῷ Λ. μὲν ἐγκ. Bb. ἐν τῷ Λ. λίαν Zilch. διὰ τὸ Λ. μόνον Cb. ἀλλὰ Λ. μόνον S. K. καὶ Λ. μόνον Cp. — 18 συμβ. — εἶναι 21 deleri vult M. — 20 ἔπ. τὸν ἐπὶ T. — 26 ὥστ]ε ὅταν Bb., idem v. 30 ἐγκωμιάζειν. ὥστ' ἐμ]ὲ — ἐγκωμιάζειν C. Cb. ὥστ]ε ὅταν — ἐγκωμιάζω S. K. Bb.[1] In vs. 26 litterae mirum in modum distractae sunt, et in fine longissima linea transversa addita. V. 30 quae conspicitur litterae pars ante τις, si paulo rotundior foret, certo Ω indicaret. — 33 ..λευτησαντες A[1] pr. — 34 τασενα... A[1]. — 38 primum | et longitudine praecellit et crassis lineis duabus transfixum est.

Col. VIII. 1 μαχόμενοι Bb.; μαχομένους S. —

τελευτῆcαι ὑπὲρ * αὐτῆ[c. μέγα δ' αὐτοῖc cυνεβάλετ[ο εἰc τὸ προθύμωc ὑπὲρ τῆc [πατρίδοc ἀγωνίcαcθαι τὸ ἐν τῇ [Βοιωτίᾳ τὴν μάχην τὴν π[ροτέραν γενέcθαι. ἑώρων γὰ[ρ τὴν μὲν πόλιν τῶν Θηβαίων οἰκτ[ρῶc ἠφαν]ιcμένην ἐξ ἀνθρώπων, [τὴν δὲ ἀ]κρόπολιν [[ἐξ]] αὐτῆc φρουρου[μένην] ὑπὸ τῶν Μακεδόνων, τὰ * δὲ cώματα τῶν ἐνοικούντων ἐξηνδραποδιcμένα, τὴν δὲ χώραν ἄλλουc διανεμομένουc, ὥcτε πρὸ ὀφθαλμῶν ὁρώμενα αὐτοῖc τὰ δεινὰ ἄοκνον π[αρ]εῖχε τόλμα(ν) εἰc τὸ κινδυνεύειν [πρ]οχείρωc. (—) ἀλλὰ μὴν τήν γε π[ερὶ Π]ύλαc καὶ Λαμίαν μάχην γε[νομέν]ην οὐχ ἧττον αὐτοῖc ἔνδο[ξον γεν]έcθαι * cυμβέβηκεν ἧc [ἐν Βοιω]τοῖc ἠγωνίcαντο, οὐ μόνον [τῷ μαχο]μένουc νικᾶν Ἀντίπατρον [καὶ τοὺc c]υμμάχουc, ἀλλὰ καὶ τῷ τόπῳ, [τῷ ἐ]νταυθοῖ γενῆcθαι τὴν μ[άχην. ἀφ]ικνού-

---

2 αυτω. ut videtur $A^1$; αυτων fuerit. αὐτῆc Bb.; αὐτο[ῦ K. — 4 πατρίδοc Bb.; Ἑλλάδοc S. — 5 τη... $A^1$. — 6 πρότερον Bb.; πρώτην Sch. Cb. $Bb.^1$; προτέραν S. — 7 ειωρων $A^1$ pr.; supra Є litteram spiritus lenis signum additum videtur. — τὴν μὲν πόλιν Bb.; τὴν πόλιν S. contra spatium. — 8 ηφανειcμένην sec. Bb. $A^1$. — 10 ἐξαυτῆc Bb.; ἐξ del. Cb. S. (cf. v. 9). ἔτι αὐτῆc M. — τατεcω $A^1$; em. Cb. S. — 17 paragraphus per errorem sequenti demum versui supposita. — 18 πρὸc Πύλαc Bb.; περὶ Π. Cb. S. M. $Bb^1$. — 20 cυνβεβηκει $A^1$; em. Bb. — 21 ηγωνιcα$^{\nu}$|το $A^1$. — 24 τοπω.. $A^1$. τῶν τόπων S. — 25 sq. Cf. Harpocr. s. v. Πύλαι· ὅτι δὲ δὶc (Sch.; codd. τιc) ἐγίγνετο cύνοδοc τῶν Ἀμφικτυόνων εἰc Πύλαc, Ὑπ. τε ἐν ἐπιτ. καὶ Θεόπομποc ἐν τῇ λ' εἰρήκαcιν. —

μενοι γὰρ οἱ Ἕλλη[νες ἅπα]ντες
δὶς τοῦ ἐνιαυτοῦ εἰς [τὴν Πυλ]αίαν
θεωροὶ γενήσοντ[αι
τῶν ἔργων τῶν π[επρα]γμένων
αὐτοῖς· ἅμα γὰρ εἰς τ[ὸν τό]πον ἀ-
θροισθήσονται καὶ τ[ῆς τού]των ἀ-
ρετῆς μνησθήσοντ[αι. — ο]ὐ-
δέν*ες γὰρ πώποτε τῶ[ν γ]εγονότων
οὔτε περὶ καλλιόνων οὔτε πρὸς ἰσ-
χυροτέρους οὔτε μετ' ἐλαττόνων
ἠγωνίσαντο, τὴν ἀρετὴν ἰσχὺν
καὶ τὴν ἀνδρείαν πλῆθος ἀλλ' οὐ
τὸν πολὺν ἀριθμὸν τῶν σωμάτων
εἶναι κρίνοντες. καὶ τὴν μὲν ἐ-
λευθερίαν εἰς τὸ κοινὸν πᾶσιν
κατέθεσαν, τὴν δ' εὐδοξίαν ἀπὸ
τῶν πράξεων ἴδιον στέφανον
τῇ πατρί[δι περι]έθηκαν.
(—) Ἄξιον |
IX τοίνυν συλλογίσασθαι καὶ τί ἂν
συμβῆναι νομίζο[[ι]]μεν μὴ κα-
τὰ τρόπον τούτων ἀγωνι[[α]]σα-
μένων. — ἆρ' οὐκ ἂν ἑνὸς μὲν δεσ-
πότου τὴν οἰκουμένην ὑπήκο-
ον ἅπασαν εἶναι, νόμῳ δὲ τῷ
*τούτου τρόπῳ ἐξ ἀνάγκης χρῆσ-

---

28 θεωροιγενησοντ[αικαὶτ]ῆςτου A$^1$, cum scribentis oculi aberrassent ad v. 31 αθροισθησονταικαιτηςτου. — 30 post A in fine vs. alia littera transfixa conspicitur, fort. Θ vel P. — 32 ....υ— A$^1$. — 33 .υ|δενος A$^1$. — 34 καλλειονων A$^1$. — 34 προσϊσ| A$^1$, ut ϊσχυν 36. — 35 οὔτε del. Cb. probante S. p. 58. — 38 σωματω$^{ν}$ A$^1$, cuiusmodi scripturas posthac iam non enotabo. — 39 εἶναι del. M. κρεινοντες A$^1$. — 40 inter κο et νον aliquid erasum est. — 41 ευτοξιαν A$^1$ pr. — 42 πραξεων$^{α}$ιδιον A$^1$ sec. Bb., πραξεωνϊδιον sec. S., et puncta quidem haud ambigua. — 43 ἀνέθηκαν Bb. T., περιέθηκαν S. Cb. Bb$^1$. — Interpunctio hic quoque proximo demum versui supposita.

Col. IX. 1 c. τί ἂν καὶ K. — νομίζομεν K. Cb. S. — 6 νομω A$^1$. — 7 τουτωι A$^1$. —

θαι τὴν Ἑλλάδα· cυνελόντ⟦α⟧ι δ' εἰπεῖν τὴν Μακεδόνων ὑπερηφανίαν καὶ μὴ τὴν τοῦ δικαίου δύναμιν ἰcχύειν παρ' ἑκάcτοιc, ὥcτε *μήτε γυνα(ι)κῶν μήτε παρθένων *μήτε παίδων ὕβρ(ε)ιc (ἀνιέναι ποτέ, ἀλλ') ἀνεκλείπτουc ἑκάcτοιc καθεcτάναι. φανερὸν δ' ἐξ ⟦τ⟧ῶν *ἠναγκαζόμε⟦c⟧θα καὶ νῦν ἔ[χειν·] θυcίας μὲν ἀνθρώποιc γ[ινο]μένας ἐφορᾶν, ἀγάλμ[ατα δὲ] καὶ βωμοὺc καὶ ναοὺc τοῖ[c μὲν] θεοῖc ἀμελῶc, τοῖc δὲ ἀνθρώ[ποιc] ἐπιμελῶc cυντελούμενα, καὶ (τ)οὺc (τού)των *οἰκέταc ὥcπερ ἥρωας τιμᾶν ἡμᾶc ἀναγκαζομένουc. ὅπου δὲ τὰ πρὸc θεοὺc ὅcια διὰ τὴν Μακεδόνων τόλμαν ἀνῄρηται, τί τὰ πρὸc τοὺc ἀνθρώπουc χρὴ νομίζειν; ἆρ' οὐ κἂν παντελῶc καταλελύcθαι; ὥcτε ὅcῳ δεινότερα τὰ προ(c)δοκώμεν' ἂν γενέcθαι κρίνο⟦ι⟧μεν, τοcούτῳ μειζόνων ἐπαίνων τοὺc τετελευτηκόταc ἀξίουc χρὴ νομίζειν. ο(ὐ)δεμία γὰρ cτρατεία τὴν (τῶν) cτρατευομένων ἀρετὴν ἐνεφάνιcεν μᾶλλον τῆc νῦν γεγενημένηc, ἐν ᾗ *γε παρατάτ-

8 cυνελόντι Bb.; cυνελόντα S. — 11 δυναμεινϊcχυειν A[1]. — 12 μετε A[1]. — 14 μηδε A[1]; μήτε F. — ἂν ἐκλείπτουc S.; ἐκλείπτουc ἂν Cp., quae propter intolerabilem circuitum eloquendi non sufficere videntur. Cb.: μήτε γυν. μ. π. μηδε(μίαν φειδὼ γίγνεcθαι, ἀλλὰ καὶ τούτων καὶ) παίδ. ὕβρ. ἀνεκλ. κτἑ. Ipse K. secutus sum; lacunam statuit etiam F. ἀπροcδοκήτουc pro ἀνεκλ. M. — 16 ἐξ ὧν Bb., ἐξ αὐτῶν ἃ K. — αναγ A[1]; ἠναγκ. T. — 17 ἔ[χειν Bb.; ἔ[cτι Cp.; ἔ[τι K. Sp.; ἤ[δη S. Є littera, quamquam eam tuetur Sch., non prorsus certa videtur, cum prior ductus parum rotundus sit; S. comparat H quod est col. X, 19 extr. — 18 γε...με|νας A[1]: γεγενημένας Bb.; γινομένας (γε[ινο]μ.) S.; γιγνομ. Cb. — 20 „Hyp. schrieb νεώc“ S. — 25 πρὸc τοὺc θεοὺc Cb. — 27 ανηρηται A[1]. — δίκαια post ἀνθρ. addit F., non sine veri specie. — 28 οὐκ ἂν Bb.; οὐ κἂν K. — 30 οcω A[1]. — 31 κρίνομεν K. Cb., probante S. p. 59. — 32 τοcουτω A[1]. — 37 ενηιτε

τεcθαι μὲν ὁcημέραι ἀναγκαῖ-
ον ἦ(ν), πλείουc δὲ μάχαc ἠγωνίc-
θαι διὰ μιᾶc cτρατ[είαc] ἢ τοὺc |
X ἄλλουc πάνταc [[πληγὰc]] *cυμ-
βαίνει ἐν τῷ παρε[[παρ]]ληλυ-
θότι χρόνῳ, χειμώνων δ' ὑ-
π]ερβολὰc καὶ τῶν καθ' ἡμέ-
ρα]ν ἀναγκαίων ἐνδείαc τοc-
αύ]ταc καὶ τηλικαύταc οὕτωc
ἐγ]κρατῶc *ὑπομεμ(ε)νηκέναι
ὥc]τε καὶ τῷ λόγῳ χαλεπὸν
εἶν]αι φράcαι. τὸν δὴ τοιαύταc
κ]α(ρ)τερίαc — ἀόκνωc ὑπομεῖναι
τοὺ(c) πολίταc προτρεψάμενον
Λεωcθένη — καὶ τοὺc τῷ τοιούτῳ
cτρατηγῷ προθύμωc cυναγωνιc-
τὰc cφᾶc αὐτοὺc παραcχόνταc —
ἆρ' οὐ [[οὐ]] διὰ τὴν τῆc ἀρετῆc ἀπόδειξιν
εὐτυχεῖc μᾶλλον ἢ διὰ τὴν τοῦ ζῆν
ἀπόλειψιν ἀτυχεῖc νομιcτέον;
οἵ τινεc θνητοῦ cώματοc ἀθά[νατον
δόξαν ἐκτήcαντο, καὶ διὰ τὴ[ν
ἰδίαν ἀρετὴν τὴν κοινὴν ἐλ[ευ-
θερίαν τοῖc Ἕλληcιν ἐβεβαίωcα[ν.
*ψέγω γὰρ πᾶcαν εὐδαιμονίαν

---

A[1]; em. Bb.

Col. X. 1 sq. πληγαcλαμβανειν A[1], quae verba delet Cb., πληγαc dittographiam antecedentis vocabuli πανταc putans. Ego in his verbis foedissime corruptis praeterea id quod ad sententiam desideratur (cυμβαίνει) latere indico. F.: πλείουc δὲ πληγὰc λαμβάνειν ἐν μάχαιc ἠγωνιcμέναιc διὰ μιᾶc cτρατείαc ἢ τοὺc ἄλλουc κτέ., et deinde v. 7 ὑπομεμενήκαcιν. — 7 υπερμεμνηκεναι A[1]; em. Bb. — 10 κρατεριαc A[1] habuit. — interpunctio post hoc verbum oscitantis librarii est; debuerat post φράcαι ponere. — 11 πολειταc A[1]. — 12 τοιουτω A[1]. — 14 huic versui paragraphus supposita; interpunctum ut videtur post cφαc. deinde αυτουc vocabuli primae litterae nescio quid linearum punctorumque supra additum. — 18 (ἀντὶ) θν. c. C. F. — 19 διατε. scriptum videtur. — 20 ϊδιαν A[1]. — 22 φέρει omnes. —

ἄνευ τῆς *αὐτονομίας. — ο(ὐ) γὰρ ἀνδρὸς
ἀπειλήν, ἀλλὰ νόμου φω- νὴν κυρι-
εύειν δεῖ τῶν εὐδαιμόνων, οὐδ' αἰ-
τίαν φοβερὰν εἶναι τοῖς ἐλευθέροις,
ἀλλ' ἔλεγχον, οὐδ' ἐπὶ τοῖς κολακεύ-
ουσιν τοὺς δυνάστας καὶ διαβάλλου-
σιν του(ς) πολίτας τὸ τῶν πολιτῶν ἀσ-
φαλές, ἀλλ' ἐπὶ τῇ τῶν νό- μων πίστει
γενέσθαι. ὑπὲρ ὧν ἁπάν- των οὗτοι πό-
νους πόνων διαδόχους ποι- ούμενοι
καὶ τοῖς καθ' ἡμέραν κινδύ- νοις του(ς) εἰς
τὸν ἅπαντα χρόνον φόβους τῶν πολιτῶν
καὶ τῶν Ἑλλήνων παραι- ρούμενοι τὸ
ζῆν ἀνήλωσαν εἰς τὸ τοὺς ἄλλους
καλῶς ζῆν. διὰ ⟦του⟧ τού- τους πατέρε[ς
ἔνδοξοι, μητέρες περίβλε- π(τ)οι τοῖς
πολίταις γεγόνασι(ν)· ἀδελ- φαὶ γάμων
τῶν προσηκόντων ἐννόμως τετυ-
χήκασι καὶ τεύξονται· παῖ- δες ἐ[φό-
διον εἰς τὴν πρὸς τὸν δῆ- μον ε[ὔνοι-
αν τὴν τῶν οὐκ ἀπ*ολω- λότω[ν |
ἀρετήν, οὐ γὰρ θεμιτὸν XI
τούτου τοῦ ὀνόματος τυ-
χεῖν τοὺς οὕτως ὑπὲρ καλῶν τὸ(ν) βίον ἐκλιπόν-
τας, ἀλλ[ὰ] τῶν τὸ ζῆν (ε)ἰς ἀμε[ίν]ω⟦ν⟧ τάξιν με-

---

23 ανευτηςαυτονομεινας A[1]. ἄνευ τῆς αὐτοῦ ὁ μείνας Bb. ἄνευ τῆς αὐτονομίας S. ἀρετῆς αὐτονομία K. ἐν αὐτῇ s. ἐφ' αὐτῆς αὐτονομία M. τί ἄνευ τῆς αὐτονομίας V. οὐδὲν ante πᾶσαν addunt F. Cp.[1] — Quae sequitur sententia laudatur a Stob. Flor. LXXIV, 35: Τοῦ αὐτοῦ (h. e. Ὑπ.). Φοβητέον οὐκ ἀνδρὸς ἀπειλήν, ἀλλὰ νόμου φωνήν; ubi AB. addunt etiam: τοῦ αὐτοῦ. Κυριεύειν δεῖ τῶν ἐλευθέρων. — 26 de ς littera in fine vs. v. ad XI, 29. — 29 πολειτας A[1]. — 34 pro των potius ρων scriptum videtur. — 37 διὰ τούτους Bb.; διά τοι τούτους Cb. — 38 τοι omisso ς scriptum fuisse videtur. — 42 εφο|τιον A[1] pr. — πρὸς τοῦ δήμου C. V. — εὐμένειαν Bb. εὔνοιαν Cb. C. Bb.[1] Sch. εὐδοξίαν S. — 43 απωλωλοτω[ν A[1].

Col. XI. 6 ἴςαιω..ωνταξιν A[1]. Non dubitavi Cb. coniecturam quamvis audaciorem (εἰς ἀμείνω) amplecti, cum ceterorum inventa (εἰς αἰώνιον S. K., εἰς δαιμόνων F., εἰς ἀθα-

τηλλα[χό]των ἕξουσιν.
εἰ γὰρ [ὁ τοῖ]ς ἄλλοι[ς] ὢν
ἀλγεινὸ[ότ]ατος θάνατος
τούτοις ἀρχηγὸς μεγά-
λων ἀγαθῶν γέγον-
ε, πῶς τούτους ο[ὐ]κ εὐ-
τυχεῖς κρίνειν δίκαιον,
ἢ πῶς ἐκλελοιπέναι
τὸν βίον, ἀλλ' οὐκ ἐξ ἀρ-
χῆς γεγονέναι καλλίω
γένεσιν τῆς πρώτης ὑ-
παρξάσης; — τότε μὲν
γὰρ παῖδες ὄντες ἄφρο-
νες ἦσαν, νῦν δ' ἄνδρες
ἀγαθοὶ γεγόνασιν. καὶ
τ]ότε μὲν (ἐν) *πολλῷ
χρό-
νῳ καὶ διὰ πολλῶν
κινδύνων τὴν ἀρετὴν
ἀπεδείξαν(το)· — νῦν δ'
ἀπὸ
ταύτης ἄ(ρ)ξα(σ)θαι (καὶ εὐ-
θὺς) γνωρί-
μους πᾶσι καὶ μνημο-
[νο]νευτοὺς διὰ ἀνδραγαθί-
αν γέγονεν (εἶν)αι. — τίς
(γὰρ) κα(ι)ρὸς ἐν
ᾧ τῆς τούτων ἀρετῆς οὐ
μνημονεύσομεν; τίς τό-
πος ἐν ᾧ ζήλου καὶ τῶν
ἐντιμοτάτων ἐπαίνων
τυγχάνοντας οὐκ ὀψόμ[ε-
θα; πότερον — οὐκ ἐν τοῖς
τῆ[ς
πόλεως ἀγαθοῖς; ἀλλὰ τ[ὰ
διὰ τούτους γεγονότα τ[ί-
ν]ας
ἄλλους ἐπαινεῖσ[θαι

---

νάτων C., καὶ ἡρώων Sp.) admodum displiceant. — 8 sq. idem Cb. optime restituit. A¹: ειγαρ....αλλ (vel μ) οι.ων| ανει (nisi ipsum αλγει scriptum fuit) ν (vel λ, si est littera integra) ..α?τ (K. γ) ος κτέ. — ὁ τοῖς ἄλλοις ὢν etiam Cp. S., qui deinde ἀνέπευκτος coniecit; contra ἀνή-κ[ες]τος Cp., ἀνιαρότατος Bb.¹ F. Longe aliter C. K. M. — 12 supra Ω ductus rotundus in modum circumflexi positus; hinc πῶς γὰρ Bb.; ποῦ Bb.¹ Quod sequitur C ex alia littera correctum est. — 16 καλλειω A¹. — 22 πολλων A¹; ἐν add. Bb. — 25 ἀπεδείξαντο Cb.; K. κτᾶσθαι εἵμαρτο ἣν post ἀρετὴν inserit. — 26 ταυτησαξαθαι vel αξαθην A¹. Bb.: „the ms. has been corrected and is almost illegible, it seems to have had αξαθην, which has been altered into αξαθαι.“ — ἄρξασθαι vel ἀξιωθῆναι Bb.: ἀγάμεθα ut sensui satis fiat S.; ἐξαυτῆς K.; δέδοται Bs.; ἀξιοῦμεν C. V.; ἐξῆν 'Αθηναίοις Cp. — Cum verbum finitum requiratur, Bb. γέγονε. ναί legere voluit, vel etiam simpliciter γέγονεν; postea tamen verbum illud in αξαθαι, damnatis prioribus coniecturis, quaesivit. Ἄρξασθαι γν. π. — γέγονεν εἶναι W. — 29 ανδραγαθι|ς·αν A¹; sed recte, credo, Sch. hoc C ad antecedentis columnae vs. 26 ελευθεροι[ς trahit. — γὰρ inser. Cb. S. — 33 ἐντειμοτατων A¹. — 34 οψον|θα scriptum videtur. — 38 ἐπαινέ-

καὶ μνήμης τυγχάνειν ποι-
ήcει; ἀλλ' οὐκ ἐν ταῖς ἰδίαις
εὐπραξίαις; — ἀλλ' ἐν τῇ τούτων
ἀρετῇ βεβαίως αὐτῶν ἀπο-
λαύcομεν. παρὰ ποίᾳ δὲ τῶν
ἡλικιῶν οὐ μακαριcτο[ὶ |
XII γενήcο[νται; πότερον οὐ πα-
ρὰ τοῖς γ[εραιτέροις, οἳ ἄ-
φοβον ἄ[ξουcι τὸν λοιπὸν
βίον κα..............
γεγενη...............
διὰ τούτ[ουc; ἀλλ' οὐ παρὰ τοῖc
ἡλικιώ[ταιc.............
τελευτησ.............
καλῶς σ..............

παρα πο...............
αι γεγον...............
νεωτερο...............
ταοὐτον...............
cιναυτ...........[cπου-
δάcουcιν............[πα-
ραδειγμ[α.............
οὐ τὴν ἀ.............
παcι ουκ.............
ζεινα.............
μή τινε.............
φοιλο.............
Ἕλλην.............
τω..ε.............
παραπο.............
Φρυγῶν κ.........[cτρα-
τείας ἐγ.............—
δὲ τῆς ε.............

---

cεων T. — 39 fort. μνημνης scriptum fuit. — | in fine vs. supra scriptum. — 40 ϊδιαιc A[1]. — 41 τη A[1]. — 43 ἀπολαυcόμεθα requirit S., scripsit T. ἀπολαύομεν V. — ποια A[1].

Col. XII. Universae sententiae satis perspicuae; singula nisi in principio et in fine columnae restitui nequeunt. V. 1 sq. πρῶτον μὲν πα|ρὰ τοῖc γ[έρουcιν· οὗτοι γὰρ ἄ]φοβον ἄ[ξουcι τὸν λοιπὸν] βίον κα[τὰ τὴν ἀρτίως] γεγενη[μένην ἀcφάλειαν] διὰ τούτ[ουc· ἔπειτα παρὰ τοῖc] ἡλικιώταιc Bb. S.: γενηc. οὗτοι; ἢ π. τ. γεραιτέροιc; ἀλλ' ἄ. ἄ. τ. λ. β. καὶ ἐλάττων τοῦ γήρωc γεγένηται ἡ δυcχέρεια διὰ τούτουc αὐτοῖc. ἢ π. τ. ἡ.; F.: γεν. οὗτοι; ἆρ' οὐ π. τ. π[ρεcβυτέροιc; ἀ. ἄ. ἄ. τ. λ. β., καὶ.....διὰ τούτουc. ἢ οὐ π. τ. ἡλ.; ἀλλὰ.... Tres aetates distinguuntur: maiorum natu, aequalium, minorum (12). — 11 αιγογον A[1] pr. — 12 ἢ παρὰ τοῖc] νεωτέροιc S. ἢ οὐ π. τ. ν.; ἀλλὰ F. — 14 αὐτοὶ μιμεῖcθαι cπουδάcουcιν Bb. — 17 οὐ τὴν ἀρετὴν καταλελοίπαcι; οὐκ ἄξιον ἐγκωμιάζειν αὐτούc; Bb. — Sequentium sententia haec fuerit: sicut illi qui Troiam ceperunt a poëtis celebrati sunt, ita hi quoque carminibus laudationibusque clari reddentur. — 24 παρα(π)ε Bb.; παρα(π)ο Cp.; παρα.c S. an παρανο[μία? — 25 Φρυγῶν καὶ τῆc ἐπὶ Τροίαν cτρατείαc S. — 27 δετηcεc Sch. —

τατοιϲ ε.............. ἅπαϲιν — κ[αὶ λόγοιϲ καὶ ᾠδαῖϲ ἐπα[ιν..... δι' ἀμφότερα γὰρ ε............. περὶ Λεωϲ[θένουϲ...... καὶ τῶν τ[ελευτηϲάντων ἐν τῷ πολ[έμῳ. εἰ μὲν γὰρ ἡδονῆϲ ἕν[εκεν ἐγκωμιάϲουϲιν τὰϲ τ[ηλικαύταϲ καρτερίαϲ, τί γέ[νοιτ' ἂν τοῖϲ Ἕλληϲιν ἥδι[ον ἢ ἔπαινοϲ τῶν τὴν ἐλευθερί[αν παραϲκευαϲάντων ἀ[πὸ τῶν Μακεδόνων; εἰ δὲ [ὠφελείαϲ ἕνεκεν ἡ τοια[ύτη μελέτη | γίνεται, τίϲ ἂν λόγοϲ
XIII
ὠφελήϲειεν μᾶλλον τὰϲ τῶν ἀκου[[ϲ]]όντων ψυχὰϲ τοῦ τὴν ἀρετὴν ἐγκωμιά*ζοντοϲ καὶ τοὺϲ ἀγαθοὺϲ ἄνδραϲ; ἀλλὰ μὴν ὅτι παρ' ἡμῖν καὶ τοῖϲ λο(ι)*ποῖϲ πᾶϲιν εὐδοκιμεῖν αὐτοὺϲ ἀναγκαῖον, — ἐκ τούτων *φανερόν ἐϲτιν· — ἐν ᾅδου δὲ λογίϲαϲθαι ἄξιον τίνεϲ οἱ τὸν ἡγεμόν-

---

29 ἅπαϲιν κ.....ᾠ]δαῖϲ ἐπᾴ[δοντεϲ Bb. ἐν ἅπ. καὶ λόγοιϲ καὶ ᾠδαῖϲ ἐπαινεῖν Cb. F., qui χρὴ post λόγοιϲ inseruit. — 30 ϲεμνό]τερα γὰρ ἔ[ξεϲτιν ἡμῖν] περὶ Λεωϲ[θένουϲ εἰπεῖν Bb. ἀγαϲτότερα γ. ἔνεϲτι πολλῷ π. Λ. λέγειν S. ἐπ' ἀμφότερα γ. ἐξέϲται ὑμνεῖν π. Λ. | Cb. — δημοτικώτερα γ. ἔϲτι τοῖϲ ποιηταῖϲ π. Λ. ᾄδειν F. ἀμφ. γ. ἐξέϲται ἐντεῦθεν π. Λ. εἰπεῖν Bb.[1] — 33 καὶ τῶν τ[ετελευτηκότων] ἐν τῷ πολέμῳ τῷδε Bb. Bb.[1] — τελευτηϲάντων — πολέμῳ. S. Cb. — τετελ. — πολέμῳ. F. — 34 εἰ γὰρ] ἡδονῆϲ ἕν[εκεν ἐπακού]ουϲιν τὰϲ τ[οιαύταϲ καρ]τερίαϲ Bb. εἴτε γὰρ τῆϲ ἡ. ἕ. ἐγκωμιάζουϲι τ. τούτων κ. S. εἰ μὲν γ. ἡ. ἕ. ἐγκωμιάϲουϲιν τ. τηλικαύταϲ κ. Cb. Bb.[1] (ἐγκωμιάζ.) F., qui tamen ὑμνεῖν ἐθέλουϲιν. — 37 τ(ότ)ε [πραχθείϲαϲ τοῖϲ Ἕλ]ληϲιν, ἡ δὲ [γίνεται ἐκ τῶν] τὴν ἐλευθερί[αν διαϲω]ϲάντων ἀ[πὸ τῶν Μακεδό]νων Bb. τί γένοιτ' ἂν τοῖϲ Ἕ. ἥδει[ον S. Cb. Bb.[1] F.; deinde ἢ τούτων τ. τ. ἐ. πᾶϲι (om. F.) βεβαιωϲάντων ἀκούειν ὑμνουμένων S. F.; ἢ ἔπαινοϲ τ. τ. ἐ. παραϲκευαϲάντων ἀ. τ. Μακ. Cb. Bb.[1], qui tamen διαϲ. retinet. — 41 εἰ δὲ [ὠφελίαϲ ἕνε]κεν, ἡ τοια[ύτη ἐκ τῶν Τρωικῶν Bb. ὠφελείαϲ Cb. F.; deinde S.: ἡ τοιαύτη ϲπουδή; ἡ τοιάδε ἀνάμνηϲιϲ Cb. Bb.[1]; ἡ τοιαύτη μελέτη αὐτοῖϲ F.

Col. XIII. 1 γεινεται A[1]. — 3 ἀκουόντων S. Cb. K. V. — 5 ἐγκωμιάζ. S. Cb. K.; εγκωμιαϲοντοϲ A[1]. — 7 ημειν A[1]. — λοιποῖϲ Bb., λο|γοιϲ A[1]. — 10 φενερον A[1].

α δεξιωcόμενοι τὸν τού-
των. ἆρ' οὐκ ἂν *ο(ἰ)όμεθα
(φ)ο(ι)τᾶν Λεωcθένη δεξι-
ου-
μένους καὶ θαυμάζοντας
τῶν ⟦δὲ⟧ *ἡμιθέων *κα-
λουμένων τοὺς ἐπὶ ⟦cτρα⟧-
Τ(ρ)*οίαν cτρα(τεύ)cαν-
τ[α]c, ὧν
οὗτος ἀδελφὰς π[ρ]άξεις
ἐνcτηcάμενος τοcοῦτον
δ]ιήνεγκε(ν), ὥcτε οἱ μὲν
μετὰ πάcης τῆς Ἑλλάδος
μ]ίαν πόλιν εἷλον, ὁ δὲ
μ]ετὰ τῆς ἑαυτοῦ πα-
τρίδος μόνης πᾶcαν
τ]ὴν τῆς Εὐρώπης καὶ
τ]ῆς Ἀσίας ἄρχουcαν δύ-
ν]αμιν ἐταπείνωcεν.
κ]ἀκεῖνοι μὲν ἕνεκα
μ]ιᾶς γυναικὸς ὑβριcθεί-
c]ης ἤμυναν, ὁ δὲ πα-
c]ῶν τῶν Ἑλληνίδων
τ]ὰς ἐπιφερομένας
ὕ]βρεις ἐκώλυcεν με-
τὰ] τῶν cυνθαπτομέ-
ν]ων νῦν αὐτῷ ἀνδρῶν,
τ]ῶν μετ' ἐκείνους μὲν

— 14 ωομεθα A[1]; em. Cb. — 15 ὁρᾶν Bb.; φοιτᾶν Cb. — 17 A[1]: τωνδεηγορμενωνκα (Bb. και) |λ (dimidia pars tantum exstat; sec. Bb. fuit τ) ουμενουcτουcεπιcτρ$^{α}$|τειανcτραcαντ.cων| Postrema Bb. expedivit, τοὺς ἐπὶ Τροίαν cτρατεύcαντας restituens (solus T. τὴν cτρατείαν ante cτρ. addit); in ceteris critici dissentiunt. Bb. τῶν διειργαcμένων καὶ τοῦ μένους; τῶν τ' εἰργ. κ. τ. μέν. S. K. Καλουμένους exstare Cb. vidit, qui audacter, sed optima sententia, restituit τῶν ἡμιθέων καλουμένων. Nempe μενων istud ex sequenti vocabulo καλουμένων ortum esse, et fortasse etiam ορ, pro quo ου scriptum in codice esse posse; ipsum καλουμένων e proximo τοὺς alienam formam traxisse. Τῶν ἡρώων καλουμένων F.; τῶν διηγουμένων τοὺς ἡμιθέους καλουμένους Bb.[F]; τῶν πεπραγμένων (τοὺς ἥρωας) καλ—ους Cp. — 29 ν in fine versus e correctione ortum. — 37 post ἀνδρ. plene interpungunt S. p. 59, C. K. F.; post διαπεπρ. v. 40 Cb. Cp. — S. K.[1] post τῶν addunt δὲ; ὧν XIV, 6 del. K., τούτων pro ὧν K.[1] — Cb. ante τῶν plura excidisse statuit, in hunc ferme modum: (οἵ τινες τὰς ἀρετὰς ἐζήλωcαν τῶν πάλαι ἐνθάδε κειμένων ἀνδρῶν), τῶν κτέ. — F. et ipse excidisse quaedam coniecit, sed novum enuntiatum ab eis incipit. — Mihi periodus claudicare videtur, si terminetur in vocabulo ἀνδρῶν; sed istud cυνθ. ἀνδρ. τῶν κτέ. non cum Cp. ad Miltiadem ceterosque, sed ad Lamiaci belli caesos refero. Porro λέγω δή est „nomino deinde etiam e. q. s., idemque de eis dico quod de Troicis heroibus dixi"; quare καὶ addere melius visum est. (Sensu simili D. ἐρῶ, Cf. ὁρῶ proposuerunt). —

γ]εγενημένων, ἄξια
δ]ὲ τῆϲ ἐκείνων ἀρε-
τ]ῆϲ διαπεπραγμένων.
λ]έγω δὴ (καὶ) τοὺϲ περὶ
Μιλ-
τ]ιάδην καὶ Θεμιϲ-
τ]οκλέα καὶ τοὺϲ ἄλ- |
XIV λουϲ, οἳ τὴν Ἑλλάδ[α
ἐλευθερώϲαντεϲ ἔν-
τιμον μὲν τὴν πα-
τρίδα κατέϲτηϲαν, ἔν-
δοξον (δὲ) τὸν αὐτῶν βίον
ἐποίηϲαν, ὧν οὗτοϲ το[ϲ-
οῦτον ὑπερέϲχεν ἀν-
δρείᾳ καὶ φρονήϲει, ὅϲ-
ον οἱ μὲν ἐπελθοῦϲαν
τή(ν) τῶν βαρβάρων δύνα-
μιν ἠμύναντο, — ὁ δὲ μ[η-
δ' ἐπελθεῖν ἐποίηϲεν.
κἀκεῖνοι μὲν ἐν τῇ οἰ-
κ(ε)ίᾳ τοὺϲ ἐχθ(ρ)οὺϲ ἐπεῖ-
δον
ἀγωνιζομένουϲ, οὗτοϲ
δὲ ἐν τῇ τῶν ἐχθρῶν περι-
εγένετο τῶν ἀντιπάλων.
— οἶμαι δὲ καὶ (τοὺϲ) τὴν
πρὸϲ ἀλλή-
λουϲ φιλίαν τῷ δήμῳ βε-
βαιότατα ἐνδειξαμένουϲ,
λέγω δὲ Ἁρμόδιον καὶ Ἀριϲ-
τογείτονα, *οὐδέναϲ οὕ-
τωϲ
αὐτοῖϲ οἰκείο(υϲ οὐδὲ πι-
ϲτο)τέρουϲ ὑμῖν
εἶναι νομίζειν ὡϲ Λεωσ-
θέν(η) καὶ τοὺϲ ἐκείνῳ ϲυν-
αγωνιϲαμένουϲ, οὐδ' *ἑτέ-
ροιϲ ἂν μᾶλλον ἢ τούτοιϲ
πληϲιάϲειαν ἐν *Ἅιδου. εἰ-
κότωϲ·

---

39 γεγεννημενουϲ A[1] pr.; γεγεννημενων corr. — 42 λ]έγω Cb. C. S. K. — 43 μιλ|.ιε δην A[1] sec. S.; μιλ|ταδην sec. Bb. forsitan quae videtur superior T litterae linea paragraphus sit. post ε vel α interpunctum videtur.

Col. XIV. 3 εντειμον A[1]. — 5 δὲ add. Bb. — 16 post τῇ interpunctum esse videtur. — 18 τοὺϲ add. Bb. — τὴν προϲήκουϲαν φιλ. M. — 22 αριϲτογειδονα A[1] pr. — ουθενουϲουτω|αυτοιϲοικειοτερουϲυμειν|ειναι A[1] (ϲ superscr.). οὐδ' ἐκείνουϲ οὕτωϲ αὐτοῖϲ οἰκείουϲ ἢ ὑμῖν εἶναι Bb. Cp., qui tamen pro ἢ ὑμ. scribit τοὺϲ ἄλλουϲ, et K., qui οἰκ. ἑταίρουϲ. οὐδέναϲ οὕτωϲ αὐτοῖϲ οἰκειοτέρουϲ ἢ ὑμῖν εἶναι Cb. prima eodem modo S. F., sed deinde ille οἰκείουϲ ἂν εἶναι, hic οἰκείουϲ καὶ ἑταίρουϲ ὑμῖν εἶναι. οὐδ' ἑαυτοὺϲ οὕτωϲ οἰκείουϲ ὑμῖν εἶναι T. οὐκ εὔνουϲ οὕτωϲ αὐτοῖϲ ἢ οἰκειοτέρουϲ ὑμ. εἶναι (δεῖν?) νομ. C. οὐδέναϲ οὕτωϲ αὐτ. οἰκείουϲ ἢ οἰκειοτέρουϲ ὑμῖν εἶναι Sp. atque alii alia. — 26 post ουδε nihil in A[1] dignoscere possum; νοιϲ haud ambiguum. οὐδ' ἐκείνοιϲ Bb. K. Cb. οὐδὲ ἑτέροιϲ S. M. — 27 πληϲιάϲαι ἂν Cb. mavult. οὐδ' ἐκείν. — πληϲιάϲειαν οἱ ἐν Ἅιδου εἰκότωϲ C.

οὐκ ἐλάττω γὰρ ἐκείνων ἔργα διεπράξαντο, ἀλλ' εἰ δέον εἰπεῖν, καὶ μείζω[[ν]]. οἱ μὲν γὰρ τοὺ[c τῆc πατρίδοc τυράννουc [κατέλυcαν, οὗτοι δὲ τοὺc τῆc Ἑλλάδοc ἁπάcηc. ὢ καλῆc μὲν καὶ παραδόξου τόλμηc τῆc πραχθείcηc ὑπὸ τῶνδε τῶν ἀνδρῶν, ἐνδόξου δὲ καὶ μεγαλοπρεποῦc προαιρέcεωc ἧc προ[[c]]είλοντο, — ὑπερβ[αλλούcηc δὲ ἀρετῆc καὶ ἀν[δ]ραγαθίαc τῆc ἐν τοῖc κινδύνοιc, ἣν οὗτοι παραcχόμενοι εἰc τὴν κοινὴν ἐλευθερίαν τῶν Ἑλλήνων |

[Χαλεπὸν μὲν ἴcωc ἐcτὶ τοὺc ἐν τοῖc τοιούτοιc ὄνταc πάθεcι παραμυθεῖcθαι· τὰ γὰρ πένθη οὔτε λόγῳ οὔτε νόμῳ κοιμίζεται, ἀλλ' ἡ φύcιc ἑκάcτου καὶ φιλία πρὸc τὸν τελευτήcαντα (τὸν) ὁριcμὸν ἔχει τοῦ λυπεῖcθαι. ὅμωc δὲ χρὴ θαρρεῖν καὶ τῆc λύπηc παραιρεῖν εἰc τὸ ἐνδεχόμενον, καὶ μεμνῆcθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆc ἀρετῆc ἧc καταλελοίπαcιν. οὐ γὰρ θρήνων ἄξια πεπόνθαcιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκαcιν. εἰ δὲ γήρωc θνη-

---

πληcιάζειν M. V. — ατου A[1]. — 43 ἐλευθ. [τὴν Bb.; ἐλ. | τῶν Cb. — ut extremus, ita hic quoque versus iusto brevior fuisse videtur.

Accedit epilogi magna pars a Stob. Flor. 124, 36 servata, ubi lemma Ὑπερίδου praefixum est. — τὸν ὁριcμὸν S., ὁρ. libri. — οὐ γὰρ θρήνων] εἰ γὰρ θρ. Leopardi (Rh. M. III, p. 11). — ὥcπερ ὑπολαμβάνομεν εἶναι, τοὺc ταῖc κτέ. AB.; ceteri codd. ὑπ. εἴη. Hinc S. ὑπ., εἴη ἂν effecit; Cb. ὑπ., εἰκὸc. — mihi quoque εἰκὸc aliquo loco addendum videtur, εἶναι autem retinendum. — Postea AB. πλ. ἐπιμελείαc, idemque Append. flor. p. 79 et Maximus p. 250 Combéf. 199 turic., ubi extrema verba inde ab εἰ δ' ἐcτὶν pariter leguntur; reliqui libri εὐδαιμονίαc. Unde Ruhnkenius κηδεμονίαc effecit, quod recep. S. Cb. Bakhuizen van den Brink ita legit: ὑπ. εἶναι, τοὺc — βοηθ. καλλίcτηc εἰκὸc μοίραc ὑ. τ. δ. τυγχ..

Praeterea S. ad hanc orationem duo frg. refert, alterum exstans ap. Polluc. II, 14: Ὑ. δὲ τὸν ἀγήρατον χρόνον, Cοφοκλῆc δὲ τὸν ἀγήρω (sc. εἴρηκεν), et hoc quidem satis pro-

τοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν ἀγήρατον εἰλήφασιν εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων καὶ λύπης καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον· εἰ δ' ἔστιν αἴσθησις ἐν ᾅδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν εἶναι, (εἰκὸς) τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας πλείστης κηδεμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.] — — —

---

**babiliter. Alterum in excerptis e Dexippo (p. 32 ed. Niebuhr) e Vaticanae bibliothecae schedis extractis legitur; sed ut Babingto demonstravit (Classical journal vol. I p. 408), nihil ad epitaphium pertinet, sed pariter ac sex alia frg. una inventa ad orationem quandam κατ' Ἀντιπάτρου. Concedit ipse S. (Philol. Suppl. I p. 55 sq.), addens Dexippi ipsius fragmenta esse, qui fecerit Hyperidem suadentem, Phocionem dissuadentem bellum.**

# FRAGMENTA.

## 1 I. II. ΚΑΤ᾽ ΑΘΗΝΟΓΕΝΟΥϹ

λόγοι β΄.

Cf. Longin. π. ὕψ. 34, 3.

1. *Ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ.* — Harp. s. v. κατὰ τὴν ἀγορὰν ἀψευδεῖν, qui ad primam orationem refert.

2. *Βουλεύσεως* — — Ὑπ. δ᾽ ἐν τῷ κατ᾽ Ἀθηνογένους α΄ ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι. — Harpocr.; cf. Suid. s. v.

3. *Τὰ τῶν φωρῶν κρείττω·* Ὑπ. ἐν τῷ κατ᾽ Ἀθ. β΄. παροιμία ἐστὶ λεγομένη ἐπὶ τῶν πλείω φερομένων ὧν ἠδίκησαν. — Harp. et Mich. Apost. prov. cent. 18, 11; cf. Suid. s. v.

4. *Ἀπρόςκλητον* τὴν οὐ προσκεκλημένην Ὑ. ἐν τῷ κατ᾽ Ἀθ. β΄. Harp.

5. *Ἀλλὰ ὀμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν.* — Harp. p. 137, 22 et frg. lex. Cantabrig. p. 674 not. 1. (Ὑ. ἐν τῷ κατ᾽ Ἀθ.)

6. *Ποδοστράβη·* Ὑπ. ἔν τε τῷ κατ᾽ Ἀθην. καὶ ἐν τῷ κατ᾽ Αὐτοκλέους. — Harpocr., cf. Suid. Phot.

---

3. Sauppius Bernhardyum secutus: „plura quam pro commissis et malefactis, h. e. non ex merito", sed malim ita accipere: „furum res melior est", „plura quam ei quos iniuria affecerunt". — φώρων O., φόρων ABCD., Suid. — εὐθηνογένους C.

## III. ΥΠΕΡ ΑΚΑΔΗΜΟΥ. II

7. *Ἡφαιστία·* Ὑ. ἐν τῷ ὑπὲρ Ἀκαδήμου. — Harpocr.

## IV. ΚΑΤ' ΑΝΤΙΟΥ ΟΡΦΑΝΙΚΟϹ. III

8. *Ἀσήμαντα* τὰ ὑφ' ἡμῶν λεγόμενα ἀϲφράγιϲτα· — Ὑπ. ἐν τῷ κατ' Ἀντίου. — Harp.

9. Ὑπερίδηϲ δ' ἐν τῷ κατ' Ἀντίου τὰ ἐν ταῖϲ βαϲάνοιϲ εἰρημένα ὑπὸ τῶν βαϲανιζομένων καὶ ἀναγραφέντα *βασάνους* ὠνόμαϲε. — Harp. Suid. s. v. βάϲανοϲ.

10. *Σεσημασμένων* ἀντὶ τοῦ ἐϲφραγιϲμένων Δημοϲθένηϲ ἐν τῷ περὶ τοῦ ὀνόματοϲ, Ὑπερίδηϲ ἐν τῷ κατ' Ἀντίου ὀρφανικῷ. — Harp.

11. *Ὑποστήσας* ἀντὶ τοῦ ὑποβαλόμενοϲ Ὑπ. ἐν τῷ κατ' Ἀντίου. — Harp.; cf. Suid. Phot.

## V. ΠΡΟϹ ΑΠΕΛΛΑΙΟΝ ΠΕΡΙ ΤΟΥ ΘΗϹΑΥΡΟΥ. IV

12. *Κολωνέτας·* Ὑπ. ἐν τῷ πρὸϲ Ἀπ. π. τ. θηϲαυροῦ. τοὺϲ μιϲθωτοὺϲ Κολωνέταϲ ὠνόμαζον. — — Harp.; cf. Pollux VII § 132.

13. *Κτησίου Διός·* Ὑ. ἐν τῷ πρὸϲ Ἀπ. — Harp.

14. *Ἐξέδωκε τὴν προγονὸν τὴν αὐτοῦ.* — Pollux III, 27 (ἐν τῷ πρὸϲ Ἀπ. π. τ. θηϲ.)

15. *Πυθαέα* ἑορτὴ τοῦ Πυθίου Ἀπόλλωνοϲ· Ὑπερ. ἐν τῷ πρὸϲ Ἀπελλαῖον. Harp.

---

10 ϲεϲημαϲμένῳ et ἐϲφραγιϲμένῳ codd. praeter N, qui ϲεϲ—ην et ἐϲφ—ην; genetivum e Demosthene § 17 S. restituit. — 12 Κολωναίταϲ codd. Harp. praeter D, qui Κολωνέταϲ; illud Bk., hoc S. recepit. Κολωνίταϲ cum Poll. Westermann hist. eloqu. gr. p. 307. — ἀπαλλαῖον C, ἀπαλλαῖον B. — 13 ἀπαλαῖον BC. — 15 πυθακία B, πύθια D, πυθαεία relicui; unde Πυθαιέα Westermann, Πυθαέα Kiessling S.. ἑορτὴ τοῦ Πυθίου Ἀπ. solus D habet. ἀπαλλαῖον B. — Pergit Harpocr.: ἄπορον πῶϲ ἀπὸ τούτου ἐϲχηματίϲται παρὰ τῷ Διδύμῳ· καὶ γὰρ οὐ δι' ὧν παρέθετο ὁ γραμματικὸϲ ὠνόμαϲε τὰ Πύθια ἑορτήν, ἀλλὰ τὸν Πύθιον Ἀπόλλωνα. Festum Apollinis Πυθαΐα dictum fuit; v. S. —

16. *Πώλας* ἀντὶ τοῦ πράϲειϲ Ὑπ. ἐν τῷ πρὸϲ Ἀπ. — Harp., cf. Suid. Phot.

## v VI. VII. ΚΑΤ' ΑΡΙϹΤΑΓΟΡΑϹ ΑΠΡΟϹΤΑϹΙΟΥ.

λόγοι β'.

17. *Ὥστε Λαῒς μὲν ἡ δοκοῦσα τῶν πώποτε διενηνοχέναι τὴν ὄψιν καὶ Ὤκιμον καὶ Μετάνειρα.* — Ath. XIII p. 587 C. (ἐν τῷ κατ' Ἀρ. β') cf. 588 C.

18. Ὅτι χιλίαϲ ἐζημιοῦντο αἱ κατὰ τὰϲ ὁδοὺϲ ἀκοϲμοῦϲαι γυναῖκεϲ Ὑ. ἐν τῷ κατ' Ἀρ. β' εἴρηκεν. — Harp.

19. *Ἀπροστασίου* εἶδοϲ δίκηϲ κατὰ τῶν προϲτάτην μὴ νεμόντων μετοίκων — — Ὑ. ἐν τῷ κατ' Ἀρ. ἀπρ. β'. — Harpocr.

20. — — Ὑπερίδηϲ ἐν τῷ κατ' Ἀριϲταγόραϲ ἀπροϲταϲίου β' φηϲὶν ὡϲ οἱ νόμοι κελεύουϲι διαμαρτυρεῖν ἐπὶ ταῖϲ γραφαῖϲ ταῖϲ τοῦ ἀπροϲταϲίου τὸν βουλόμενον ὁμοίωϲ τῶν ξένων καὶ τῶν ἐπιχωρίων. — Harp. s. v. διαμαρτυρία.

21. Τίνων δ' οὐκ ἐξῆν τοῖϲ νόθοιϲ μετέχειν, δεδήλωκεν Ὑπ. τε ἐν τῷ κατ' Ἀρ. β'. — Harp. s. v. νοθεῖα; cf. Suid. Phot. s. v.

22. *Πωληταὶ* καὶ πωλητήριον. οἱ μὲν πωληταὶ ἀρχή τίϲ ἐϲτιν Ἀθήνηϲι — Ὑπ. ἐν τῷ κατ' Ἀρ. β'. — Harp.

23. *Φαλάγγια.* Ὑπ. ἐν τῷ κατ' Ἀρ. β'. — Harp.

24. *Ἐπεὶ καὶ ὁ τῆς δωροξενίας νόμος ἁρμόττων ἐστὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γὰρ καὶ τοὺς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βουλομένῳ*

---

16 ἀπαλλαῖον BC. — 17 Μετάνειρα Schweighäuser; Μ—αν libri. — 19 ἀριϲταγόρα F, ἀριϲταγόρου AB. — 20 ἀριϲταγόρου ABI, ἀριϲτογόνου N. — ἀποϲταϲίου B. — δευτέρου I, om. ABN. — 22 huc retulit S. Suidae et Photii glossam: πωλητήριον· τὸ πρατήριον. οὕτωϲ Ὑπερίδηϲ, contra Kiessling ad orationem adv. Apellaeum. — 23 bene comparavit S. Xen. comm. Socr. 1, 3, 12, quem locum et Harp. affert. — 24 in lemmate ἀριϲταγόρου plerique. ἐϲτι] ἐπὶ A. — πραχθῆναι N. — ξενίαϲ om. C. — εἴρηκεν] ἕνεκεν BC. — δι-

*πάλιν γράψασθαι, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς οὐ φανερόν ἐστι κατ' Ἀρισταγόρας τὸ δίκαιον;* — Harp. s. v. δωροξενία (Ὑπ. ἐν τῷ κατ' Ἀρισταγ.)

25. *Ὥςτε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους (μὴ) μάτην ἀπατᾶν ὑμᾶς, (ἀλλ' ἀποδεικνύναι ὅτι) τυγχάνουσι δικαιότερα λέγοντες· καὶ νόμον ὑμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην.* — Suid. s. v. νέμειν προστάτην, sine orationis nomine; sed cf. Harp. s. v. προστάτης· Ὑ. ἐν τῷ κατ' Ἀρισταγόρας.

26. Ὁμοίως τὸν καλούμενον τόπον παρὰ τοῖς παλαιοῖς ἔστιν εὑρεῖν· καθάπερ τὸ Δημοσθενικὸν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· — — καὶ Ὑπερείδου κατὰ τῶν ἑταιρῶν ἐν τῷ κατὰ Ἀρισταγόρας. — Theon prog. I p. 162 W.

27. *Ἀφαίρεσις* ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν· 28
Ὑ. ἐν τῷ κατ' Ἀρ. — Harp. cf. B. A. p. 468 et Suid. s. v. ἀφαίρεμα.

28. *Καὶ πάλιν τὰς Ἀφύας καλουμένας τὸν αὐ-* 29
*τὸν τρόπον ἐκαλέσατε.* Ath. XIII p. 586 A (ἐν τῷ κατὰ Ἀρ.); cf. Harp. Suid. s. v. ἀφύας (Ὑ. κατ' Ἀρ.) et B. A. p. 473.

29. *Κακολογεῖν* Ὑπ. κατὰ Ἀρισταγόρας. — An- 30
tiattic. in B. A. p. 102.

30. *Μετοίκιον*· Ὑπ. ἐν τῷ κατὰ Ἀρισταγόρας. 31
— Harpocr.

Praeterea recte fortasse ad hanc orationem Westermannus etiam frg. inc. 10 retulit.

---

καίως om. C. κατὰ I. — 25 μὴ μάτην Coraes; μάτην ἀπατᾶν (ἀπαντᾶν V.) ὑμᾶς μὴ libri. Κολαστέον et προελομένους μάτην Bernhardy. — τυγχάνωσι libri; ἐὰν μὴ τυγχ. S.; ὑμᾶς, ἀλλ', ἣν τυγχ. δ. λ., νόμον Coraes. — δικαιότερα A, σκαιότερα relicui. — ὑμῖν Coraes, ἡμῖν libri. — τὸν om. V. — 26 Ἀρισταγόρας Schefferus; ἀρισταγόρου libri. — 27 ἀρισταγόρου A, ἀριστογείτονος BF. — 28. ἀρισταγόρου ap. Harp. BF. — 29 ἀρισταγόρου cod. — 30 ἀρισταγόρου AB. —

VI VIII. ΠΡΟϹ ΑΡΙϹΤΟΓΕΙΤΟΝΑ.

Cf. Vit. X orat. p. 849 A.

32 31. 32. *Quid a me saepius his verbis de meo iudicio requiris? Scripsisti, ut servis libertas daretur? Scripsi; ne liberi servitutem experirentur. Scripsisti, ut exules restituerentur? Scripsi; ut ne quis exsilio afficeretur. Leges igitur, quae prohibebant haec, nonne legebas? Non poteram; propterea quod literis earum arma Macedonum opposita officiebant.* — Rutil. L. I, 19 (item eiusdem, sc. Hyperidis). — Graeca verba e veterum locis magnam partem restituere possumus. — — *Ἔγραψας τοὺς δούλους ἐλευθέρους εἶναι; ἔγραψα, ἵνα μὴ οἱ ἐλεύθεροι δουλεύσωσιν* (cf. Anonym. π. ἀποκρ. Sp. Rh. Gr. I p. 168; Gregor. Corinth. ad Hermog. VII p. 1204 W.) — — *ἔγραψας τοὺς ἀτίμους ἐπιτίμους εἶναι; ἔγραψα, ὅπως ἂν ὁμονοήσαντες (ἅπαντες) ὑπὲρ τῆς πατρίδος ἀγωνίσαιντο.* (cf. Anon. ad Hermog. IV p. 707; VII p. 782 et IX p. 481; [Dem.] c. Aristog. II, 11). — — *ἐπεσκότει μοι τὰ Μακεδόνων ὅπλα.* (Vitae X orat. p. 849 A.) — (32) *Οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη* (ibid.) *Τοῦτο τὸ ψήφισμα οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη* (Longin. π. ὕψ. XV, 10).

33 33. Ὑπερ. ἐν τῷ πρὸϲ Ἀρ.· *ὅπως πρῶτον μὲν*

---

32 *meo] medio* libri laurentiani duo. — *daretur* Stephanus; *detur* libri. — *scripsi* bis Ruhnk.; libri ubique *scripsisti*. — *nonne legebas* Ruhnk.; *non neglegebas* libri; *neglegebas* S., qui deinde *non poteram aliter* scribit. — *officiebant* Ruhnk.; *obsistebant* libri. — Anonym. π. ἀποκρ.: ἐρωτηθεὶϲ εἰ ἔγραψε (ἔγραφε cod.) τοὺϲ δ. ἐλ. εἶναι, ἔφη· ἵνα κτέ. — ἵνα μὴ ἡμεῖϲ δουλεύϲωμεν Gregorius. — E proximis locis patet Rutilium quaedam omisisse, quibus orator de capite deminutis dixerat. Priore loco anonym.: Ὑ. γράψαϲ — τοὺϲ ἀτίμουϲ ἐπ. εἶναι ὅπωϲ ἂν κτέ. Ἅπαντεϲ ex oratione c. Arist. ascivi. Altero loco ipsa verba Hyperidis non afferuntur. — Biograph. X orat.: αἰτιωμένων δέ τινων αὐτὸν ὡϲ παριδόντα πολλοὺϲ νόμουϲ ἐν τῷ ψηφίϲματι· ἐπεϲκ., ἔφη, μοι τὰ Μ. ὅπλα· καὶ (ita Photius, om. καὶ libri) Οὐκ ἐγὼ κτέ. — 33 ὅπωϲ] οὕ-

*μυριάδας πλείους ἢ δεκαπέντε τοὺς (δούλους τοὺς) ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν, ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ καὶ τοὺς ἀπεψηφισμένους καὶ τοὺς μετοίκους.* — Suid. 1, 1 p. 562, 14.

34. *Καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μαν-* 34
*θάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον.* — Schol. Plat. p. 382 Bk.

35. *Καὶ ἔφασαν ἐν Οἰνόῃ ἀκοῦσαι* [*ὅτι μάχη* 35
*εἴη γεγονυῖα.* — Harpocr. s. v. *Οἰνόη.*

36. *Καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια.* 36
— Harp. Suid. Phot. s. v. ὅϲιον.

37. Καὶ Δημοϲθένηϲ δὲ μᾶλλον (sc. ἐξείργαϲται) 37
Ὑπερείδου τὴν γεγενημένην Ἀθηναίοιϲ ταραχήν, ὅτε ἧκεν ἑϲπέραϲ ἀγγέλλων τιϲ ὡϲ τοὺϲ πρυτάνειϲ ὡϲ ἡ Ἐλάτεια κατείληπται. — Theon progymn. W. I p. 167.

38. *Εὐρυσάκειον·* Ὑπ. ἐν τῷ πρὸϲ Ἀρ. — 38
Harpocr.

39. *Κεκροπίς·* Ὑπ. ἐν τῷ πρὸϲ Ἀρ. — Harpocr. 39

40. *Ναύκληρος·* — ἐπὶ τοῦ μεμιϲθωμένου ἐπὶ τῷ 40
τὰ ἐνοίκια ἐκλέγειν, ἢ οἰκίαϲ ἢ ϲυνοικίαϲ, ὡϲ ὁ αὐτὸϲ ῥήτωρ δηλοῖ ἐν τῷ πρὸϲ Ἀρ. — Harp. et lex. Cantabr. p. 673; add. Suid. et Phot.

41. *Οἰνηΐς·* Ὑπ. ἐν τῷ πρὸϲ Ἀριϲτ. — Harpocr. 41

42. *Ὀρθῆς δὲ τῆς πόλεως οὔσης ἐπὶ τούτοις* 42
ἀντὶ τοῦ κεκινημένηϲ καὶ πεφοβημένηϲ Ὑπ. φηϲίν. Phot. lex. p. 346 et Bachmanni anecd. p. 320, 12. Cf. frg. 35 et 37.

Praeterea huc retulit Sauppius frg. quod exstat ap. Rutil. L. II, 2; v. frg. inc.

---

τωϲ Bernhardy; λόγῳ ci. S., qui praeterea et δούλουϲ deesse vidit et πρῶτον μὲν post δεκαπέντε transponere vult. — μετοίκουϲ Schmidt; ἀποίκουϲ libri. — 35 καὶ om. B. — ἐν Οἰνέῃ A, ἐν οἰναίῃ BC. — 36 καὶ χρήμ. D. — καὶ ὅϲια BC. — 40 οἰκίαν et ϲυνοικίαϲ mavult S. —

## VII IX. ΚΑΤΑ ΑΡΙϹΤΟΦΩΝΤΟϹ ΠΑΡΑΝΟΜΩΝ.

Cf. pro Euxenippo col. 38.

44 43. Κεκωμῴδηται ὁ Ἀριϲτοφῶν ὡϲ ὑπὲρ Χάρητοϲ μιϲθοῦ λέγων καὶ ὡϲ παρανόμων γραφὰϲ ϲε´ πεφευγὼϲ καὶ ὡϲ ϲτρατηγήϲαϲ ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργαϲάμενοϲ τοὺϲ ἐνοικοῦνταϲ, ἐφ' ᾧ γραφεὶϲ ὑπὸ Ὑπερείδου παρανόμων ἑάλω. φηϲὶ δ' αὐτὸν Ὑπ. καὶ Ἀρδηττὸν ἐπικληθῆναι, διὰ τὸ πολλάκιϲ αὐτόθι ἐπιωρκηκέναι. — Schol. Aesch. 1, 64.

45 44. *Οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅτι ἂν ἔμβραχυ βούληται.* — Schol. Plat. p. 384 Bk.

46 45. *Μοιχίδιον* τὸν ἐκ μοιχοῦ γεγενημένον Ὑπ. ἐν τῷ κατὰ Ἀρ. — Antiattic. in B. A. p. 108, 1; cf. Phot. lex. p. 273, 24 et Suidas 2, 1 p. 904.

47 46. *Μονοπώλιον* δὲ Ὑπ. εἴρηκεν ἐν τῷ κατὰ Ἀρ.· οἱ δὲ ἄλλοι λέγουϲι μονοπωλίαν. — Poll. VII, 11.

48 *47. *Nam cum ceterorum opinionem fallere conaris, tu tete frustraris. Non enim probas, cum te pro astuto sapientem appelles, pro confidente fortem, pro illiberali diligentem rei familiaris, pro malivolo severum. Nullum est enim vitium, quo virtutis laude gloriari possis.* — Rutil. L. I, 4 (Hyperidis); cf. Quintilian. IX 3 65; Isidor. Orig. II, 21, 9.

## VIII X. ΥΠΕΡ ΑΡΠΑΛΟΥ

εἰ γνήϲιοϲ.

49 48. Εἰ δὲ μὴ ψευδὴϲ ὁ Ὑπερίδου λόγοϲ ὑπὲρ Ἁρπάλου, ἐν αὐτῷ γέγραπται· *ἐκπηδήσαντες ἐκ τῶν περδικοτροφείων.* — Pollux X, 159.

---

43 γραφὴν cod., γραφὰϲ ϲε´ vel γραφὰϲ πολλάκιϲ ci. S. coll. Aesch. 3, 194. — 45 τὸν Phot. et Suid., τὸ anecd. γεγεννημένον Suidas. — 47 Dedi lectiones Quintiliani, qui Rutilii librum usurpavit; huius enim ipsius codices alterum *cum* omittunt et pro *appelles intelligi* offerunt. Cum Quintiliano facit etiam paraphrasis quae est in carmine de schematis v. 113 sqq. *intelligenti* ci. Ruhnk. — 48 ἐκδήϲαντεϲ cod. heidelb. —

## XI. ΚΑΤ' ΑΡΧΕΣΤΡΑΤΙΔΟΥ. IX

49. Κινήσομεν δὲ ἔλεον κἂν ὑποδεικνύωμεν πά- 50
θος τὸ συμβεβηκὸς περί τινας τῶν οἰκείων τοῦ κρι-
νομένου ἢ τοῦ τεθνεῶτος· Ὑπ. ἐν τῷ κατ' Ἀρχ. ἐπέ-
δειξέ που τὰ συμβεβηκότα τῇ τοῦ Ὀνείδου μητρί. —
Apsin. τέχν. ῥητ. IX p. 591 W.

50. Ὅτι δὲ οὐκ ἐξῆν τοῖς ἀποδημοῦσι θεωρικὸν 51
λαμβάνειν, Ὑπ. δεδήλωκεν ἐν τῷ κατ' Ἀρχ. — Harp.
s. v. θεωρικά.

51. *Εὔβουλος*· — ἕτερος δ' ἐστὶν ὁ κωμικός, 52
οὗ μνημονεύει Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Harpocr.
Phot.

52. *Ἱερά*· τὰ τῶν τεθνηκότων ὀστᾶ. Ὑπ. κατὰ 53
Ἀρχ. — Antiattic. in B. A. p. 100, 18, et similiter
Ammon. π. διαφ. λ. p. 73 Valck.

53. Ὑπ. ἐν τῷ κατ' Ἀρχ.· *οἱ τοὺς ἰθυφάλλους* 54
*ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι*. — Harp. s. v. ἰθύ-
φαλλοι.

54. *πάραλος*· — — οἱ δὲ ἐπιβεβηκότες αὐτῆς 55
ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν δ'
τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυ-
τοῦ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ
τῆς πόλεως, ὥς φησιν Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Har-
pocr.

55. *Ξυπεταίονες*· Ὑπ. κατ' Ἀρχεστρ. — Harp. 56

56. *ἐν παραβύστῳ* ἀντὶ τοῦ κρύφα καὶ οὐ φα- 57
νερῶς Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Harp.

57. *Σπειριεύς*· Ὑπ. κατ' Ἀρχεστρ. — Harpocr. 58

## XII. ΚΑΤ' ΑΥΤΟΚΛΕΟΥΣ ΠΡΟΔΟΣΙΑΣ. X

58. Ὑπ. ἐν τῷ κατ' Αὐτ. εἰπών, ὅτι τοῦτον ἐπὶ 59
λόγοις δεῖ κολάσαι, τίθησιν ὅμοιον, ὅτι *καὶ Σωκρά-*

---

49 Ἀρχεστράτου libri. — 51 ἀρχεστρατίδου ? B. — 52 ap. Ammon. ἀρχιστρατίδου libri; em. Valck. — 53 ἀρχιστρατίδου BC. — 54 ἀρχεστράτου A. — 55 ξυπεταιῶνες D, ξυπεταίων C, ξυπετάλων B. — ἀρχιστρατίδου B. — 56 ἀρχιστρατίδου AB, ἀρχιστρατήδου C. — 57 στιριεύς D, στιρεύς ABGN, στει-

*την οἱ πρόγονοι ἡμῶν ἐπὶ λόγοις ἐκόλαζον*. Gregor. Corinth. ad Hermog. VII p. 1148 W.

60 59. *ἐγκάθετος*· Ὑπ. κατὰ Αὐτοκλέους. Antiattic. in B. A. p. 96, 30. *Ἐγκάθετος*· οὕτως Ὑπ. ἀπερριμμένως, δέον δοκιμώτερον χρήσασθαι τῷ θετὸς ἢ εἰσποίητος ἢ ὑπόβλητος. Phrynich. epitomes p. 333 Lob.

61 60. *ἔργα νέων*. τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτ. Ἡσιόδου φησὶν εἶναι. Harpocr. — Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων. τοῦτο Ὑπ. ἐν τῷ κατ' Αὐτ. Ἡσιόδου φησὶν εἶναι παροιμίαν. Mich. Apost. prov. cent. 9, 6.

62 61. *Εὔηνος*· Ὑπ. ἐν τῷ κατ' Αὐτ.. β' ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις. Harpocr.

63 62. *κατέλευσαν* λίθοις κατέβαλον· Ὑπ. ἐν τῷ κατ' Αὐτοκλέους. — Harp.

64 63. Ἦν δὲ καὶ ἕτερος Κολωνὸς πρὸς τὸ τοῦ Ποσειδῶνος ἱερόν, ὡς Ὑπ. ἐν τῷ κατ' Αὐτ.· οὗτος δ' ἂν εἴη ὁ τῶν ἱππέων. — Harp. s. v. Κολωνέτας.

65 64. *Μηλόβιος*· Ὑπ. ἐν τῷ κατ' Αὐτοκλ.. ἔστι δὲ εἷς τῶν λ' τῶν παρ' Ἀθηναίοις τυραννησάντων. Harpocr. Suid. Phot.

66 65. *ποδοστράβη*· Ὑπ. ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλ. Harp.

67 66. Ὑπ. ἐν τῷ κατ' Αὐτοκλ. προδοσίας· *ῥητορικῆς ἐκ δήμου* (scil. γραφῆς)· ἔστι γὰρ καὶ ἐκ βουλῆς. Lex. cantabrig. p. 677, 16.

68 67. *στρατηγοί*· — οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ ι' ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερίδου κατ' Αὐτοκλ. καὶ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους. Harp.

---

ρεύς C. — 60 integram paroemiam Harp. ex Aristophane grammatico addit, unde colligas Hyperidem non integram eam laudasse. — 61 Kiessling versus Eueni qui exstant ap. Stob. Flor. 51, 17 ab Hyperide allatos putat. — 64 Coniunxerunt Kiessling et S. aliud fragmentum: Δρακοντίδης εἷς τῶν λ'· Ὑπερίδης (Harpocr.). — 67 ἐκ τοῦ ὑπερίδου

68. Μέμνημαι δὲ καὶ περὶ τοῦ τῆϲ *γνώμης* ὀνό- 69
ματοϲ εἰπὼν ὡϲ ἐπὶ τῶν παλαιῶν ἐν ἴϲῳ εἴτε τῷ διανοίαϲ εἴτε καὶ ἐννοήϲεωϲ ἐλέγετο — — καὶ Αἰϲχίνηϲ δὲ κατὰ τούϲδε ὁ Cωκρατικὸϲ ἐν τῷ Μιλτιάδῃ κατὰ τὸ αὐτὸ ϲημαινόμενον κέχρηται τῷ ὀνόματι καὶ Ὑπ. ἐν τῷ κατ' Αὐτ. καὶ ἄλλοι. Galenus vol. XVIII, 2 p. 656 sq. Kühn.

## XIII. ΠΡΟϹ ΔΑΜΙΠΠΟΝ. XI

69. *πρόςκλησις* ἡ εἰϲ δικαϲτήριον κλῆϲιϲ, καὶ 70
*προςκαλέσασθαι* τὸ παραγγέλλειν εἰϲ δίκην· Δημοϲθένηϲ ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου, Ὑπ. ἐν τῷ πρὸϲ Δάμιππον. Harpocr.

## XIV. ΔΗΛΙΑΚΟϹ. XII

Cf. Dem. de corona § 134; Biogr. X orat. p. 849 F; Apollon. Vit. Aesch. p. 402 ed. turic.; Hermog. III p. 219 W.; Max. Plan. V p. 482 W.

70. *Θεὸς μὲν ἦν ἀεί — — λέγεται γὰρ τὴν Λητὼ* 71
*κύουσαν τοὺς παῖδας ἐκ Διὸς ἐλαύνεσθαι ὑπὸ τῆς Ἥρας κατὰ γῆν καὶ κατὰ θάλασσαν· ἤδη δὲ αὐτὴν βαρυνομένην καὶ ἀποροῦσαν εἰς τὴν γῆν ἐλθεῖν τὴν ἡμετέραν καὶ λῦσαι τὴν ζώνην ἐν τῷ τόπῳ ὃς νῦν Ζωστὴρ καλεῖται.* Prima verba Anon. ad Hermog. VII p. 956 not.; relicua Max. Plan. V p. 481 W. — Eadem magis etiam integra, sed paullum immutatis verbis exhibet Ioann. Sic. VI p. 210 W.: λέγεται γὰρ τὴν Λητὼ κύουϲαν ἐκ Διὸϲ ἐλαύνεϲθαι ὑπὸ τῆϲ Ἥραϲ κατὰ πᾶϲαν γῆν τε καὶ θάλαϲϲαν ζηλοτυ-

---

καὶ ταυτοκλέουϲ BCG. — 68 κατ' αὐτὸ Διοκλέουϲ libri; em. S. — 70 Anon. ad Hermog. VII p. 956 not.: ὁ Ὑπ., ὁριϲθεὶϲ ἐγκωμιάϲαι τὸν Ἀπόλλω καὶ μὴ δυνηθεὶϲ θεολογῆϲαι, τοῦ μύθου ἀπήρξατο τοῦ περὶ τὴν Λητὼ γεγενημένου ἐν τῇ Δήλῳ, καὶ βουλόμενοϲ δεῖξαι ἐκ παλαιοῦ τὴν πόλιν οἰκείαν εἶναι Ἀπόλλωνοϲ, — — ἐξ ὁμολογουμένων πραγμάτων ἤρξατο, ἀναλογούντων τῷ γένει, λέγων θεὸϲ μὲν ἦν ἀεὶ καὶ τὰ ἑξῆϲ. — Max. Plan.: βουλόμενοϲ γὰρ ἐκεῖνοϲ ἐξ ἀρχαίου δεῖξαι τοῖϲ Ἀθηναίοιϲ τὰ ἐν Δήλῳ ἱερὰ προϲήκοντα,

πούcηc· ἤδη δὲ αὐτὴν ἡ ὠδὶc καταλαβοῦcα εἰc τὴν ἡμετέραν χώραν λῦcαι τὴν ζώνην· ἀνθ' ὧν νῦν ὁ Ζωcτὴρ ἀπὸ τοῦδε καλεῖται· ἔπειτα εἰς Δῆλον διαβᾶcαν διδύμουc τεκεῖν, Ἄρτεμίν τε καὶ Ἀπόλλω τοὺc θεούc. — Adde Aristid. 1 p. 157 Dd.: Λητώ τε γὰρ, λυcαμένη τὴν ζώνην ἐν Ζωcτῆρι τῆc Ἀττικῆc καὶ λιποῦcα τὴν ἐπωνυμίαν τῷ τόπῳ, βαδίζουcα ἀεὶ εἰc τὸ πρὸc ἕω, τῆc Προνοίαc Ἀθηνᾶc ἡγουμένηc, ἀπ' ἄκραc τῆc Ἀττικῆc ἐπιβᾶcα τῶν νήcων εἰc Δῆλον καταίρει καὶ τίκτει δὴ τοὺc θεοὺc, τήν τε Ἄρτεμιν καὶ τὸν πατρῷον Ἀπόλλω τῇ πόλει, et schol. ad h. l.: τοῦτο καὶ Ὑπ. ἐν τῷ Δηλιακῷ, βουλόμενοc δεῖξαι ὅτι αἱ νῆcοι ἐγγύc εἰcι τῆc Ἀττικῆc, εἶπεν, ὅτι ἀπ' ἄκραc τῆc Ἀττικῆc ἡ Λητὼ ἐπέβη τῆc νήcου.

72 71. *Ἐνταυθὶ θύεται τῷ Ἀπόλλωνι ὁσημέραι καὶ μερὶς αὐτῷ καὶ δεῖπνον παρατίθεται.* Priscianus 18 p. 229 Kr.

73 72. *Καὶ τὸν κρατῆρα τὸν Πανιώνιον κοινῇ οἱ Ἕλληνες κεραννύουσιν.* Ath. X p. 424 E. Κεραννύουcιν ex Hyperide etiam Photius et Suidas afferunt.

74 73. Ἔχειc δὲ διπλοῦν cτοχαcμὸν παρὰ Ὑπ. ἐν τῷ Δηλ.· ἐκθηcόμεθα δὲ τὰ εἰρημένα ὑπὲρ τοῦ γενέcθαι caφὲc τὸ λεγόμενον. Ἀφίκοντό τινεc εἰc Δῆλον ἄνθρωποι Αἰολεῖc πλούcιοι, χρυcίον ἔχοντεc πολύ, κατὰ θεωρίαν τῆc Ἑλλάδοc ἀποδημοῦντεc ἐκ τῆc ἑαυτῶν· οὗτοι ἐφάνηcαν ἐν Ῥηνείᾳ ἐκβεβλημένοι τετελευτηκότεc. τοῦ δὲ πράγματοc περιβοήτου ὄντοc ἐπιφέρουcι Δήλιοι τοῖc Ῥηνεῦcιν αἰτίαν ὡc αὐτῶν ταῦτα πεποιηκότων, καὶ γράφονται τὴν πόλιν αὐτῶν ἀcεβείαc, οἱ δὲ Ῥηνεῖc ἠγανάκτηνταί τε τῷ πράγματι καὶ προcκαλοῦνται Δηλίουc τὴν αὐτὴν δίκην. οὔcηc δὲ τῆc δια-

---

πολλῷ κέχρηται τῷ μύθῳ, λέγων οὕτω κτέ. — εἰc τὴν γῆν ἐλθεῖν] εἰc τὴν χώραν ἐλθ. T. VII, ἐλθεῖν εἰc τὴν χώραν Ven. — νῦν om. Mon. — Ioannem non ipsa verba Hyperidis afferre B. et S. perspexerunt. χώραν (ἐλθοῦcαν) Meineke. ἀπὸ τοῦδε καλεῖται Ruhnk., ἀπὸ τοῦ δεκατικοῦ codex. — 71 ἐνταυθοῖ Mon. — 73 διαδικαcίαc] δικαcίαc codex. —

*ἴσασι καὶ οἱ φράτορες καὶ τῶν δημοτῶν οἱ πολλοί,*
*καὶ μαρτυρήσουσιν ὑμῖν· ὅτι δ' ἄλλην τινὰ ἔγημε* 11
*γυναῖκα, ἐξ ἧς τινος αἵδε αὐτῷ ἐγένοντο, οὐδεὶς τὸ*
*παράπαν οἶδεν οὐδ' ἤκουσε πώποτε ζῶντος Εὐκτή-*
*μονος. καίτοι τούτους εἰκὸς πιστοτάτους εἶναι νομί-*
*ζειν μάρτυρας· τοὺς γὰρ οἰκείους εἰδέναι προσήκει*
*τὰ τοιαῦτα. Καί μοι τούτους κάλει πρῶτον, καὶ τὰς*
*μαρτυρίας ἀνάγνωθι.*

## ΜΑΡΤΥΡΙΑΙ.

*Ἔτι τοίνυν καὶ τοὺς ἀντιδίκους ἐπιδείξω ἔργῳ* 12

ὑμῖν ταῦτα μεμαρτυρηκότας. ὅτε γὰρ αἱ ἀνακρίσεις
ἦσαν πρὸς τῷ ἄρχοντι καὶ οὗτοι παρακατέβαλον ὡς
ὑπὲρ γνησίων τῶνδ᾽ Εὐκτήμονος ὄντων, ἐρωτώμε-
νοι ὑφ᾽ ἡμῶν τίς εἴη αὐτῶν μήτηρ καὶ ὅτου θυγάτηρ
οὐκ εἶχον ἀποδεῖξαι, διαμαρτυρομένων ἡμῶν καὶ τοῦ
ἄρχοντος κελεύοντος ἀποκρίνασθαι κατὰ τὸν νόμον.
καίτοι ἄτοπον, ὦ ἄνδρες, ἀμφισβητεῖν μὲν ὡς ὑπὲρ
γνησίων καὶ διαμαρτυρεῖν, μητέρα δὲ ἥ τις ἦν μὴ
ἔχειν ἀποδεῖξαι, μηδὲ προσήκοντα αὐτοῖς μηδένα.
13 ἀλλὰ τότε μὲν Λημνίαν σκηψάμενοι ταύτην ἀναβολὴν
ἐποιήσαντο· τὸ δ᾽ ὕστερον ἥκοντες εἰς τὴν ἀνάκρι-
σιν, πρίν καί τινα ἐρέσθαι, εὐθὺς ἔλεγον ὅτι Καλ-
λίππη μήτηρ, αὕτη δ᾽ εἴη Πιστοξένου θυγάτηρ, ὡς
ἐξαρκέσον εἰ ὄνομα μόνον πορίσαιντο τὸν Πιστόξε-
νον. ἐρομένων δ᾽ ἡμῶν ὅστις εἴη καὶ εἰ ζῇ ἢ μή, ἐν
Σικελίᾳ ἔφασαν ἀποθανεῖν στρατευόμενον, καταλι-
πόντα ταύτην θυγατέρα παρὰ τῷ Εὐκτήμονι, ἐξ ἐπι-
τροπευομένης δὲ τούτῳ γενέσθαι, πρᾶγμα πλάττον-
τες ἀναιδείᾳ ὑπερβάλλον καὶ οὐδ᾽ ἐγγενόμενον, ὡς
ἐγὼ ὑμῖν ἀποφανῶ ἐκ τούτων πρῶτον ὧν αὐτοὶ ἀπε-
14 κρίναντο. τῇ μὲν γὰρ στρατιᾷ, ἀφ᾽ οὗ ἐξέπλευσεν
εἰς Σικελίαν, ἤδη ἐστὶ δύο καὶ πεντήκοντα ἔτη, ἀπὸ
Ἀριμνήστου ἄρχοντος, τῷ δὲ πρεσβυτέρῳ τούτων,
ὧν φασιν ἐκ τῆς Καλλίππης καὶ τοῦ Εὐκτήμονος
εἶναι, οὔπω ὑπὲρ εἴκοσιν ἔτη. ἀφελόντι οὖν ταῦτα
ἀπὸ τῶν ἐν Σικελίᾳ ὑπολείπεται πλείω ἢ τριάκοντα
ἔτη· ὥστ᾽ οὔτ᾽ ἐπιτροπεύεσθαι προσῆκε τὴν Καλ-
λίππην ἔτι, τριακοντοῦτίν γε οὖσαν, οὔτε ἀνέκδοτον
καὶ ἄπαιδα εἶναι, ἀλλὰ πάνυ πάλαι συνοικεῖν, ἢ
15 ἐγγυηθεῖσαν κατὰ νόμον ἢ ἐπιδικασθεῖσαν. ἔτι δὲ
καὶ γιγνώσκεσθαι αὐτὴν ὑπὸ τῶν Εὐκτήμονος οἰ-
κείων ἀναγκαῖον ἦν καὶ ὑπὸ τῶν οἰκετῶν, εἴ περ γε

συνῴκησεν ἐκείνῳ ἢ διῃτήθη τοσοῦτον χρόνον ἐν τῇ
οἰκίᾳ. τὰ γὰρ τοιαῦτα οὐκ εἰς τὴν ἀνάκρισιν μόνον
δεῖ πορίζεσθαι ὀνόματα, ἀλλὰ τῇ ἀληθείᾳ γεγονότα
ἀποφαίνεσθαι καὶ ὑπὸ τῶν προσηκόντων καταμαρ-
τυρεῖσθαι. ἀποδεῖξαι τοίνυν ἡμῶν κελευόντων ὅστις 16
οἶδε τῶν Εὐκτήμονος οἰκείων ἢ συνοικήσασαν ἐκείνῳ
τινὰ ἢ [τὴν Καλλίππην] ἐπιτροπευομένην, καὶ παρὰ
τῶν ὄντων θεραπόντων τὸν ἔλεγχον ποιεῖσθαι, ἢ εἴ
τις τῶν παρ' αὐτοῖς οἰκετῶν φάσκει ταῦτα εἰδέναι,
ἡμῖν παραδοῦναι, οὔτε λαβεῖν ἠθέλησαν οὔθ' ἡμῖν |
παραδοῦναι. Καί μοι λαβὲ τήν τ' ἀπόκρισιν αὐτῶν
καὶ τὰς ἡμετέρας μαρτυρίας καὶ προκλήσεις.

ΑΠΟΚΡΙΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ. ΠΡΟΚΛΗΣΕΙΣ.

Οὗτοι μὲν τοίνυν τοιοῦτο πρᾶγμα ἔφυγον· ἐγὼ 17
δ' ὑμῖν ἐπιδείξω καὶ ὅθεν εἰσὶ καὶ οἵτινες αὐτοὺς
γνησίους διεμαρτύρησαν εἶναι καὶ κληρονόμους ζη-
τοῦσι καταστῆσαι τῶν Εὐκτήμονος. ἴσως μέν ἐστιν
ἀηδὲς Φανοστράτῳ, ὦ ἄνδρες, τὰς Εὐκτήμονος συμ-
φορὰς φανερὰς καθεστάναι· ὀλίγα δ' ἀναγκαῖον ῥη-
θῆναι, ἵν' ὑμεῖς τὴν ἀλήθειαν εἰδότες ῥᾷον τὰ δί-
καια ψηφίσησθε. Εὐκτήμων μὲν γὰρ ἐβίω ἔτη ἓξ 18
καὶ ἐνενήκοντα, τούτου δὲ τοῦ χρόνου τὸν μὲν πλεῖ-
στον ἐδόκει εὐδαίμων εἶναι (καὶ γὰρ οὐσία ἦν οὐκ
ὀλίγη αὐτῷ καὶ παῖδες καὶ γυνή, καὶ τἄλλ' ἐπιεικῶς
εὐτύχει), ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο οὐ
μικρά, ἣ ἐκείνου πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο καὶ
χρήματα πολλὰ διώλεσε καὶ αὐτὸν τοῖς οἰκειοτάτοις
εἰς διαφορὰν κατέστησεν. ὅθεν δὲ καὶ ὅπως ταῦτ' 19
ἐγένετο, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων δηλώσω.
ἀπελευθέρα ἦν αὐτοῦ, ὦ ἄνδρες, ἣ ἐναυκλήρει συνοι-
κίαν ἐν Πειραιεῖ αὐτοῦ καὶ παιδίσκας ἔτρεφε. τού-

τῶν μίαν ἐκτήσατο ᾗ ὄνομα ἦν Ἀλκή, ἣν καὶ ὑμῶν
οἶμαι πολλοὺς εἰδέναι. αὕτη δὲ ἡ Ἀλκὴ ὠνηθεῖσα
πολλὰ μὲν ἔτη καθῆστο ἐν οἰκήματι, ἤδη δὲ πρε-
20 σβυτέρα οὖσα ἀπὸ μὲν τοῦ οἰκήματος ἀνίσταται, διαι-
τωμένη δὲ αὐτῇ ἐν τῇ συνοικίᾳ συνῆν ἄνθρωπος
ἀπελεύθερος, Δίων ὄνομα αὐτῷ, ἐξ οὗ ἔφη ἐκείνη
τούτους γεγονέναι· καὶ ἔθρεψεν αὐτοὺς ὁ Δίων ὡς
ὄντας ἑαυτοῦ. χρόνῳ δὲ ὕστερον ὁ μὲν Δίων ζημίαν
εἰργασμένος καὶ δείσας ὑπὲρ αὐτοῦ ὑπεχώρησεν εἰς
Σικυῶνα· τὴν δ' ἄνθρωπον ταύτην, τὴν Ἀλκήν,
καθίστησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμει-
κῷ συνοικίας, τῆς παρὰ τὴν πυλίδα, οὗ ὁ οἶνος
21 ὤνιος. κατοικισθεῖσα δ' ἐνταυθοῖ πολλῶν καὶ κα-
κῶν ἦρξεν, ὦ ἄνδρες. φοιτῶν γὰρ ὁ Εὐκτήμων ἐπὶ
τὸ ἐνοίκιον ἑκάστοτε τὰ πολλὰ διέτριβεν ἐν τῇ συ-
νοικίᾳ, ἐνίοτε δὲ καὶ ἐσιτεῖτο μετὰ τῆς ἀνθρώπου,
καταλιπὼν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ τὴν
οἰκίαν ἣν ᾤκει. χαλεπῶς δὲ φερούσης τῆς γυναικὸς
καὶ τῶν υἱέων οὐχ ὅπως ἐπαύσατο, ἀλλὰ τελευτῶν
παντελῶς διῃτᾶτο ἐκεῖ, καὶ οὕτω διετέθη εἴθ' ὑπὸ
φαρμάκων εἴθ' ὑπὸ νόσου εἴθ' ὑπ' ἄλλου τινός,
ὥστε ἐπείσθη ὑπ' αὐτῆς τὸν πρεσβύτερον τοῖν παί-
δοιν εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἐπὶ τῷ αὑτοῦ
22 ὀνόματι. ἐπειδὴ δὲ οὔθ' ὁ υἱὸς αὐτῷ Φιλοκτήμων
συνεχώρει οὔθ' οἱ φράτορες εἰσεδέξαντο, ἀλλ'
ἀπηνέχθη τὸ κούρειον, ὀργιζόμενος ὁ Εὐκτήμων τῷ
υἱεῖ καὶ ἐπηρεάζειν βουλόμενος ἐγγυᾶται γυναῖκα
Δημοκράτους τοῦ Ἀφιδναίου ἀδελφήν, ὡς ἐκ ταύτης
παῖδας ἀποφανῶν καὶ εἰσποιήσων εἰς τὸν οἶκον, εἰ
23 μὴ συγχωροίη τοῦτον εἰσαχθῆναι. εἰδότες δ' οἱ
ἀναγκαῖοι ὅτι ἐξ ἐκείνου μὲν οὐκ ἂν ἔτι γένοιντο
παῖδες ταύτην τὴν ἡλικίαν ἔχοντος, φανήσοιντο δ'

ἄλλῳ τινὶ τρόπῳ, καὶ ἐκ τούτων ἔσοιντο ἔτι μείζους
διαφοραί, ἔπειθον, ὦ ἄνδρες, τὸν Φιλοκτήμονα ἐᾶ-
σαι εἰσαγαγεῖν τοῦτον τὸν παῖδα ἐφ' οἷς ἐζήτει ὁ
Εὐκτήμων, χωρίον ἓν δόντα. καὶ ὁ Φιλοκτήμων αἰ- 24
σχυνόμενος μὲν ἐπὶ τῇ τοῦ πατρὸς ἀνοίᾳ, ἀπορῶν δ'
ὅ τι χρήσαιτο τῷ παρόντι κακῷ, οὐκ ἀντέλεγεν οὐ-
δέν. ὁμολογηθέντων δὲ τούτων, καὶ εἰσαχθέντος
τοῦ παιδὸς ἐπὶ τούτοις, ἀπηλλάγη τῆς γυναικὸς ὁ
Εὐκτήμων, καὶ ἐπεδείξατο ὅτι οὐ παίδων ἕνεκα ἐγά-
μει, ἀλλ' ἵνα τοῦτον εἰσαγάγοι. τί γὰρ ἔδει αὐτὸν 25
γαμεῖν, ὦ Ἀνδρόκλεις, εἴ περ οἵδε ἦσαν ἐξ αὐτοῦ
καὶ γυναικὸς ἀστῆς, ὡς σὺ μεμαρτύρηκας; τίς γὰρ
ἂν γνησίους ὄντας οἷός τε ἦν κωλῦσαι εἰσαγαγεῖν;
ἢ διὰ τί ἐπὶ ῥητοῖς αὐτὸν εἰσήγαγε, τοῦ νόμου κε-
λεύοντος ἅπαντας τοὺς γνησίους ἰσομοίρους εἶναι τῶν
πατρῴων; ἢ διὰ τί τὸν μὲν πρεσβύτερον τοῖν παί- 26
δοιν ἐπὶ ῥητοῖς εἰσήγαγε, τοῦ δὲ νεωτέρου ἤδη γε-
γονότος οὐδὲ λόγον ἐποιεῖτο ζῶντος | Φιλοκτήμονος
οὔτε πρὸς αὐτὸν ἐκεῖνον οὔτε πρὸς τοὺς οἰκείους;
οὓς σὺ νῦν διαρρήδην μεμαρτύρηκας γνησίους εἶναι
καὶ κληρονόμους τῶν Εὐκτήμονος. Ταῦτα τοίνυν ὡς
ἀληθῆ λέγω, ἀναγίγνωσκε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Μετὰ ταῦτα τοίνυν ὁ Φιλοκτήμων τριηραρχῶν 27
περὶ Χίον ἀποθνήσκει ὑπὸ τῶν πολεμίων· ὁ δ' Εὐ-
κτήμων ὕστερον χρόνῳ πρὸς τοὺς κηδεστὰς εἶπεν ὅτι
βούλοιτο τὰ πρὸς τὸν υἱόν οἱ πεπραγμένα γράψας
καταθέσθαι. καὶ ὁ μὲν Φανόστρατος ἐκπλεῖν ἔμελλε
τριηραρχῶν μετὰ Τιμοθέου, καὶ ἡ ναῦς αὐτῷ ἐξώρ-
μει Μουνυχίασι, καὶ ὁ κηδεστὴς Χαιρέας παρὼν συν-
απέστελλεν αὐτόν· ὁ δ' Εὐκτήμων παραλαβών τινας

ᾔειν οὗ ἐξώρμει ἡ ναῦς, καὶ γράψας διαθήκην, ἐφ'
οἷς εἰσήγαγε τὸν παῖδα, κατατίθεται μετὰ τούτων
28 παρὰ Πυθοδώρῳ Κηφισιεῖ, προσήκοντι αὐτῷ. καὶ
ὅτι μέν, ὦ ἄνδρες, οὐχ ὡς περὶ γνησίων ἔπραττεν
Εὐκτήμων, ὃ Ἀνδροκλῆς μεμαρτύρηκε, καὶ αὐτὸ
τοῦτο ἱκανὸν τεκμήριον· τοῖς γὰρ φύσει υἱέσιν αὑ-
τοῦ οὐδεὶς οὐδενὶ ἐν διαθήκῃ γράφει δόσιν οὐδεμίαν,
διότι ὁ νόμος αὐτὸς ἀποδίδωσι τῷ υἱεῖ τὰ τοῦ πατρὸς
καὶ οὐδὲ διαθέσθαι ἐᾷ ὅτῳ ἂν ὦσι παῖδες γνήσιοι.
29 Κειμένου δὲ τοῦ γραμματείου σχεδὸν δύ' ἔτη καὶ
τοῦ Χαιρέου τετελευτηκότος, ὑποπεπτωκότες οἵδε τῇ
ἀνθρώπῳ, καὶ ὁρῶντες ἀπολλύμενον τὸν οἶκον καὶ
τὸ γῆρας καὶ τὴν ἄνοιαν τοῦ Εὐκτήμονος, ὅτι εἴη
30 αὐτοῖς ἱκανὴ ἀφορμή, συνεπιτίθενται. καὶ πρῶτον
μὲν πείθουσι τὸν Εὐκτήμονα τὴν μὲν διαθήκην ἀνε-
λεῖν ὡς οὐ χρησίμην οὖσαν τοῖς παισί· τῆς γὰρ φα-
νερᾶς οὐσίας οὐδένα κύριον ἔσεσθαι τελευτήσαντος
Εὐκτήμονος ἄλλον ἢ τὰς θυγατέρας καὶ τοὺς ἐκ τού-
των γεγονότας· εἰ δὲ ἀποδόμενός τι τῶν ὄντων ἀρ-
31 γύριον καταλίποι, τοῦτο βεβαίως ἕξειν αὐτούς. ἀκού-
σας δ' ὁ Εὐκτήμων εὐθὺς ἀπῄτει τὸν Πυθόδωρον
τὸ γραμματεῖον, καὶ προσεκαλέσατο εἰς ἐμφανῶν κα-
τάστασιν. καταστάντος δὲ ἐκείνου πρὸς τὸν ἄρχοντα,
32 ἔλεγεν ὅτι βούλοιτ' ἀνελέσθαι τὴν διαθήκην. ἐπειδὴ
δ' ὁ Πυθόδωρος ἐκείνῳ μὲν καὶ τῷ Φανοστράτῳ πα-
ρόντι ὡμολόγει ἀναιρεῖν, τοῦ δὲ Χαιρέου τοῦ συγκα-
ταθεμένου θυγάτηρ ἦν μία, ἧς ἐπειδὴ κύριος κατα-
σταίη, τότε ἠξίου ἀνελεῖν, καὶ ὁ ἄρχων οὕτως ἐγί-
γνωσκε, διομολογησάμενος ὁ Εὐκτήμων ἐναντίον
τοῦ ἄρχοντος καὶ τῶν παρέδρων καὶ ποιησάμενος
πολλοὺς μάρτυρας ὡς οὐκέτ' αὐτῷ κέοιτο ἡ διαθήκη,
33 ᾤχετο ἀπιών. καὶ ἐν πάνυ ὀλίγῳ χρόνῳ, οὗπερ ἕνεκα

οὗτοι ἅπαντα αὐτὸν ἔπεισαν, ἀποδίδοται ἀγρὸν μὲν Ἀθμονοῖ πέντε καὶ ἑβδομήκοντα μνῶν Ἀντιφάνει, τὸ δ᾽ ἐν Σηραγγίῳ βαλανεῖον τρισχιλίων Ἀριστολόχῳ· οἰκίαν δὲ ἐν ἄστει τεττάρων καὶ τεσσαράκοντα μνῶν ὑποκειμένην ἀπέλυσε τῷ ἱεροφάντῃ. ἔτι δὲ αἶγας ἀπέδοτο σὺν τῷ αἰπόλῳ τριῶν καὶ δέκα μνῶν, καὶ ζεύγη δύο ὀρικά, τὸ μὲν ὀκτὼ μνῶν τὸ δὲ πεντήκοντα καὶ πεντακοσίων δραχμῶν, καὶ δημιουργοὺς
34 ὅσοι ἦσαν αὐτῷ. σύμπαντα δὲ πλείονος ἢ τριῶν ταλάντων, ἃ ἐπράθη διὰ ταχέων πάνυ τελευτήσαντος Φιλοκτήμονος. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, καθ᾽ ἕκαστον ὑμῖν τῶν εἰρημένων πρῶτον καλῶ τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ταῦτα μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε· περὶ δὲ 35
τῶν ὑπολοίπων εὐθὺς ἐπεβούλευον, καὶ πάντων δεινότατον πρᾶγμα κατεσκεύασαν, ᾧ ἄξιόν ἐστι προσέχειν τὸν νοῦν. ὁρῶντες γὰρ τὸν Εὐκτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως καὶ οὐδὲ τῆς κλίνης ἀνίστασθαι δυνάμενον, ἐσκόπουν ὅπως καὶ τελευτήσαντος ἐκείνου δι᾽ αὐτῶν ἔσοιτο ἡ οὐσία. καὶ τί ποιοῦσιν; 36
ἀπογράφουσι τὼ παῖδε τούτω πρὸς τὸν ἄρχοντα ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος υἱέσι τοῖς τετελευτηκόσιν, ἐπιγράψαντες σφᾶς αὐτοὺς ἐπιτρόπους, καὶ μισθοῦν ἐκέλευον τὸν ἄρχοντα τοὺς οἴκους ὡς ὀρφανῶν ὄντων, ὅπως ἐπὶ τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ ἀποτιμήματα κατασταθείη καὶ ὅροι | τεθεῖεν ζῶντος ἔτι τοῦ Εὐκτήμονος, μισθωταὶ δὲ αὐτοὶ γενόμενοι τὰς προσόδους λαμβάνοιεν. καὶ ἐπειδὴ πρῶτον τὰ δικαστήρια ἐπληρώθη, 37
ὁ μὲν ἄρχων προεκήρυττεν, οἱ δ᾽ ἐμισθοῦντο. παρα-

γενόμενοι δέ τινες ἐξαγγέλλουσι τοῖς οἰκείοις τὴν ἐπιβουλήν, καὶ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα τοῖς δικασταῖς, καὶ οὕτως ἀπεχειροτόνησαν οἱ δικασταὶ μὴ μισθοῦν τοὺς οἴκους· εἰ δ' ἔλαθεν, ἀπωλώλει ἂν ἅπασα ἡ οὐσία. Καί μοι κάλει τοὺς παραγενομένους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

38 Πρὶν μὲν τοίνυν τούτους γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβουλεῦσαι Εὐκτήμονι, οὕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ υἱέος Φιλοκτήμονος, ὥστε ἅμα τε τὰ μέγιστα ὑμῖν λειτουργεῖν ἀμφοτέρους τῶν τε ἀρχαίων μηδὲν πραθῆναι τῶν τε προσόδων περιποιεῖν, ὥστε ἀεί τι προσκτᾶσθαι· ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, οὕτω διετέθη ἡ οὐσία, ὥστε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα εἶναι λοιπὰ καὶ τὰς προσόδους ἁπάσας ἠφανίσθαι.
39 καὶ οὐδὲ ταῦτα ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ' ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης ὥστ' ἐκείνου κειμένου ἔνδον τοὺς μὲν οἰκέτας ἐφύλαττον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε ταῖν θυγατέροιν μήτε τῇ γυναικὶ αὐτοῦ μήτε τῶν οἰκείων μηδενί, τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀνθρώπου εἰς τὴν ὁμότοιχον οἰκίαν, ἣν ᾤκει μεμισθωμένος εἷς τούτων, Ἀντίδωρος ἐκεῖ-
40 νος. καὶ οὐδ' ἐπειδὴ ἑτέρων πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνή, οὐδὲ τότε εἴων εἰσιέναι, ἀλλ' ἀπέκλεισαν τῇ θύρᾳ, φάσκοντες οὐ προσήκειν αὐταῖς θάπτειν Εὐκτήμονα· καὶ οὐδ' εἰσελθεῖν ἐδύναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίου δυσμάς.
41 εἰσελθοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, ὡς ἔφασαν οἱ οἰκέται, τὰ δ' ἐκ τῆς

οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τούτων. αἱ μὲν
οὖν γυναῖκες, οἷον εἰκός, περὶ τὸν τετελευτηκότα
ἦσαν· οὗτοι δὲ τοῖς ἀκολουθήσασι παραχρῆμα ἐπε-
δείκνυσαν τὰ ἔνδον ὡς εἶχε, καὶ τοὺς οἰκέτας πρῶ-
τον ἠρώτων ἐναντίον τούτων ὅποι τετραμμένα εἴη τὰ
χρήματα. λεγόντων δὲ ἐκείνων ὅτι οὗτοι ἐξενηνοχό- 42
τες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ ἀξιούντων πα-
ραχρῆμα τῶνδε φωρᾶν κατὰ τὸν νόμον καὶ τοὺς οἰ-
κέτας ἐξαιτούντων τοὺς ἐκφορήσαντας, οὐκ ἠθέλη-
σαν τῶν δικαίων οὐδὲν ποιῆσαι. Καὶ ὅτι ἀληθῆ λέγω,
λαβὲ ταυτὶ καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ. ΑΠΟΓΡΑΦΗ. ΠΡΟΚΛΗΣΙΣ.

Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκ- 43
φορήσαντες, τοσαύτης δ' οὐσίας πεπραμένης τὴν
τιμὴν ἔχοντες, ἔτι δὲ τὰς προσόδους τὰς ἐν ἐκείνῳ
τῷ χρόνῳ γενομένας διαφορήσαντες, οἴονται καὶ τῶν
λοιπῶν κύριοι γενήσεσθαι· καὶ εἰς τοῦτο ἀναιδείας
ἥκουσιν, ὥστ' εὐθυδικίᾳ μὲν οὐκ ἐτόλμησαν εἰσελ-
θεῖν, ἀλλὰ διεμαρτύρουν ὡς ὑπὲρ γνησίων ἅμα μὲν
τὰ ψευδῆ ἅμα δὲ τἀναντία οἷς αὐτοὶ ἔπραξαν· οἵτι- 44
νες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγραψαν αὐτοὺς ὡς ὄν-
τας τὸν μὲν Φιλοκτήμονος τὸν δ' Ἐργαμένους, νῦν
δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. καίτοι οὐδ'
εἰ γνήσιοι ἦσαν, εἰσποίητοι δέ, ὡς οὗτοι ἔφασαν,
οὐδ' οὕτω προσῆκεν αὐτοὺς Εὐκτήμονος εἶναι· ὁ
γὰρ νόμος οὐκ ἐᾷ ἐπανιέναι, ἐὰν μὴ υἱὸν καταλίπῃ
γνήσιον. ὥστε καὶ ἐξ ὧν αὐτοὶ ἔπραξαν ἀνάγκη τὴν
μαρτυρίαν ψευδῆ εἶναι. καὶ εἰ μὲν τότε διεπράξαντο 45
μισθωθῆναι τοὺς οἴκους, οὐκ ἂν ἔτι ἦν τοῖσδε ἀμ-
φισβητῆσαι· νῦν δὲ ἀποχειροτονησάντων τῶν δικα-
στῶν ὡς οὐδὲν αὐτοῖς προσῆκεν, οὐδὲ ἀμφισβητῆσαι

τετολμήκασιν, ἀλλὰ πρὸς ὑπερβολὴν ἀναισχυντίας προσμεμαρτυρήκασι τούτους εἶναι κληρονόμους, οὓς ὑμεῖς ἀπεχειροτονήσατε.

46 Ἔτι δὲ καὶ τοῦ μάρτυρος αὐτοῦ σκέψασθε τὴν τόλμαν καὶ ἀναίδειαν, ὅστις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος ὡς οὔσης ἐπικλήρου, καὶ αὐτοῦ τοῦ κλήρου τοῦ Εὐκτήμονος πέμπτου | μέρους ὡς ἐπιδίκου ὄντος, μεμαρτύρηκε δ' Εὐκτήμονος υἱὸν εἶναι γνήσιον. καίτοι πῶς οὗτος οὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; οὐ γάρ δή που γνησίου ὄντος υἱέος Εὐκτήμονι ἐπίκληρος ἂν ἦν ἡ θυγάτηρ αὐτοῦ, οὐδὲ ὁ κλῆρος ἐπίδικος. ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

47 Τοὐναντίον τοίνυν συμβέβηκεν ἢ ὡς ὁ νόμος γέγραπται· ἐκεῖ μὲν γάρ ἐστι νόθῳ μηδὲ νόθῃ εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος, Ἀνδροκλείδης δὲ καὶ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας καὶ τοὺς ἐκ τούτων γεγονότας, τόν τε Εὐκτή-
48 μονος οἶκον καὶ τὸν Φιλοκτήμονος ἔχειν. καὶ ἡ διαφθείρασα τὴν Εὐκτήμονος γνώμην καὶ πολλῶν ἐγκρατὴς γενομένη οὕτως ὑβρίζει σφόδρα πιστεύουσα τούτοις, ὥστε οὐ μόνον τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ καὶ τῆς πόλεως ἁπάσης. ἀκούσαντες δὲ ἓν μόνον σημεῖον ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. Καί μοι λαβὲ τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

49 Ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς οὕτω σεμνὰ καὶ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλοῦ ποιούμενοι

καὶ πρὸς ταύτας καὶ πρὸς τοὺς ἄλλους θεοὺς εὐσε-
βεῖν· ἡ δὲ τούτων μήτηρ, οὕτως ὁμολογουμένη οὖσα
δούλη καὶ ἅπαντα τὸν χρόνον αἰσχρῶς βιοῦσα, ἣν 50
οὔτε παρελθεῖν εἴσω τοῦ ἱεροῦ ἔδει οὔτ' ἰδεῖν τῶν
ἔνδον οὐδέν, οὔσης τῆς θυσίας ταύταις ταῖς θεαῖς
ἐτόλμησε συμπέμψαι τὴν πομπὴν καὶ εἰσελθεῖν εἰς
τὸ ἱερὸν καὶ ἰδεῖν ἃ οὐκ ἐξὸν αὐτῇ. ὡς δὲ ἀληθῆ
λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε ἃ ἐψηφίσατο
ἡ βουλὴ περὶ αὐτῆς. Λαβὲ τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ἐνθυμεῖσθαι τοίνυν χρή, ὦ ἄνδρες, πότερον δεῖ 51
τὸν ἐκ ταύτης τῶν Φιλοκτήμονος εἶναι κληρονόμον
καὶ ἐπὶ τὰ μνήματα ἰέναι χεόμενον καὶ ἐναγιοῦντα,
ἢ τὸν ἐκ τῆς ἀδελφῆς τούτου, ὃν υἱὸν αὐτὸς ἐποιή-
σατο· καὶ πότερον δεῖ τὴν ἀδελφὴν Φιλοκτήμονος, ἣ
Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τούτοις γενέ-
σθαι ἢ ἐκδοῦναι ὅτῳ βούλονται ἢ ἐᾶν καταγηράσκειν,
ἢ γνησίαν οὖσαν ὑφ' ὑμῶν ἐπιδικασθεῖσαν συνοι-
κεῖν ὅτῳ ἂν ὑμῖν δοκῇ. ἡ γὰρ ψῆφός ἐστι περὶ τού- 52
των νυνί. τουτὶ γὰρ αὐτοῖς ἡ διαμαρτυρία δύναται,
ἵν' ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τούτων, οὗτοι δὲ
κἂν νῦν διαμάρτωσι τοῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος
ἐπίδικος εἶναι, ἀντιγραψάμενοι δὶς περὶ τῶν αὐτῶν
ἀγωνίζωνται. καίτοι εἰ μὲν διέθετο Φιλοκτήμων μὴ
ἐξὸν αὐτῷ, τοῦτ' αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς οὐ
κύριος ἦν υἱὸν τόνδε ποιήσασθαι· εἰ δ' ἔξεστι μὲν
διαθέσθαι, ἀμφισβητεῖ δὲ ὡς οὐ δόντος οὐδὲ διαθε-
μένου, μὴ διαμαρτυρίᾳ κωλύειν ἀλλ' εὐθυδικίᾳ εἰσ-
ιέναι. νῦν δὲ πῶς ἂν περιφανέστερον ἐξελεγχθείη 53
τὰ ψευδῆ μεμαρτυρηκὼς ἢ εἴ τις αὐτὸν ἔροιτο „Ἀν-
„δρόκλεις, πῶς οἶσθα Φιλοκτήμον' ὅτι οὔτε διέθετο

„οὔτε υἱὸν Χαιρέστρατον ἐποιήσατο;" οἷς μὲν γὰρ
τις παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρτυρεῖν, οἷς
δὲ μὴ παρεγένετο ἀλλ' ἤκουσέ τινος, ἀκοὴν μαρτυ-
54 ρεῖν· σὺ δ' οὐ παραγενόμενος διαρρήδην μεμαρτύ-
ρηκας ὡς οὐ διέθετο Φιλοκτήμων, ἀλλ' ἄπαις ἐτε-
λεύτησε. καίτοι πῶς οἷόν τε εἰδέναι, ὦ ἄνδρες;
ὅμοιον γὰρ ὥσπερ ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παρα-
γενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε. οὐ γὰρ δὴ
τοῦτό γε ἐρεῖ, καίπερ ἀναίσχυντος ὤν, ὡς ἅπασι
παρεγένετο καὶ πάντ' οἶδεν ὅσα Φιλοκτήμων ἐν τῷ
55 βίῳ διεπράξατο. πάντων γὰρ αὐτὸν ἐκεῖνος ἔχθιστον
ἐνόμιζε διά τε τὴν ἄλλην πονηρίαν, καὶ διότι τῶν
συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς ἐκείνης τούτῳ καὶ
τοῖς ἄλλοις συνεπιβουλεύσας τοῖς τοῦ Εὐκτήμονος
χρήμασι τοιαῦτα διεπράξατο, οἷά περ ὑμῖν ἀπέδειξα.
56 Πάντων δὲ μάλιστα ἀγανακτῆσαί ἐστιν ἄξιον,
ὅταν οὗτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι, τῷ
τουδὶ πάππῳ. εἰ γάρ, ὡς οὗτοι λέγουσι, τῷ μὲν
Φιλοκτήμονι μὴ ἐξῆν διαθέσθαι, τοῦ δ' Εὐκτήμονός
ἐστιν ὁ κλῆρος, πότερον δικαιότερον τῶν Εὐκτήμονος
κληρονομεῖν τὰς ἐκείνου θυγατέρας, ὁμολογουμένως
οὔσας γνησίας, | καὶ ἡμᾶς τοὺς ἐκ τούτων γεγονό-
57 τας, ἢ τοὺς οὐδὲν προσήκοντας; οἳ οὐ μόνον ὑφ' ἡμῶν
ἐλέγχονται, ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐπίτροποι δια-
πεπραγμένοι εἰσί. τοῦτο γὰρ ὑμῶν δέομαι καὶ ἱκε-
τεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες, ὅπερ ὀλίγῳ πρό-
τερον ἀπέδειξα ὑμῖν, ὅτι Ἀνδροκλῆς οὑτοσὶ φησὶ μὲν
εἶναι ἐπίτροπος αὐτῶν ὡς ὄντων γνησίων Εὐκτήμο-
νος, εἴληχε δ' αὐτὸς ἑαυτῷ τοῦ Εὐκτήμονος κλήρου
καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλήρου· καὶ
58 ταῦτα μεμαρτύρηται ὑμῖν. καίτοι πῶς οὐ δεινόν, ὦ
ἄνδρες, πρὸς θεῶν Ὀλυμπίων, εἰ μὲν οἱ παῖδές εἰσι

γνήσιοι, τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν τοῦ Εὐκτή-
μονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπι-
δίκου, εἰ δὲ μή εἰσι γνήσιοι, νῦν διαμεμαρτυρηκέναι
ὡς εἰσὶ γνήσιοι; ταῦτα γὰρ αὐτὰ ἑαυτοῖς ἐναντία
ἐστίν. ὥστ' οὐ μόνον ὑφ' ἡμῶν ἐλέγχεται τὰ ψευδῆ
διαμεμαρτυρηκώς, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς πράττει.
καὶ τούτῳ μὲν οὐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι 59
τὸν κλῆρον, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι· οὗτος δ' ἅπαν-
τας ἀποστερεῖ τῆς ἀμφισβητήσεως. καὶ διαρρήδην
μαρτυρήσας γνησίους τοὺς παῖδας εἶναι, οἴεται ἐξαρ-
κέσειν ὑμῖν παρεκβάσεις, ἐὰν δὲ τοῦτο μὲν μηδ' ἐγ-
χειρήσῃ ἐπιδεικνύναι ἢ καὶ κατὰ μικρόν τι ἐπιμνησθῇ,
ἡμῖν δὲ λοιδορήσηται μεγάλῃ τῇ φωνῇ καὶ λέγῃ ὡς
εἰσὶν οἵδε μὲν πλούσιοι αὐτὸς δὲ πένης, διὰ δὲ ταῦτα
δόξειν τοὺς παῖδας εἶναι γνησίους. τῆς δὲ τούτων 60
οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω ἀναλίσκεται
ἢ εἰς αὐτοὺς τούτους. καὶ Φανόστρατος μὲν τετριη-
ράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτουργίας ἁπάσας
λελειτούργηκε καὶ τὰς πλείστας νίκας νενίκηκεν·
οὑτοσὶ δὲ Χαιρέστρατος τηλικοῦτος ὢν τετριηράρχηκε,
κεχορήγηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμ-
πάδι· καὶ τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πά-
σας ἐν τοῖς τριακοσίοις. καὶ τέως μὲν δύ' ὄντες, νῦν
δὲ καὶ ὁ νεώτερος οὑτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς
δὲ τοὺς τριακοσίους ἐγγέγραπται καὶ εἰσφέρει τὰς
εἰσφοράς. ὥστ' οὐ φθονεῖσθαί εἰσιν ἄξιοι, ἀλλὰ 61
πολὺ μᾶλλον νὴ Δία καὶ τὸν Ἀπόλλω οὗτοι, εἰ λή-
ψονται ἃ μὴ προσήκει αὐτοῖς. τοῦ γὰρ Φιλοκτήμο-
νος κλήρου ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν αὐτὸν τα-
μιεύσει, τὰ προσταττόμενα λειτουργῶν ὥσπερ καὶ νῦν
καὶ ἔτι μᾶλλον· ἐὰν δ' οὗτοι λάβωσι, διαφορήσαντες
ἑτέροις ἐπιβουλεύσουσι.

62 Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆτε, τῇ διαμαρτυρίᾳ τὸν νοῦν προσέχειν περὶ ἧς τὴν ψῆφον οἴσετε· καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπολογίαν ποιεῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν. γέγραπται ὡς οὐκ ἔδωκεν οὐδὲ διέθετο Φιλοκτήμων· τοῦτο ἐπιδέδεικται ψεῦδος ὄν· [καὶ γὰρ ὁ δοὺς καὶ ὁ διαθέμενος,] καὶ μαρτυροῦσιν οἱ
63 παραγενόμενοι. τί ἔτι; τελευτῆσαι ἄπαιδα Φιλοκτήμονα. πῶς οὖν ἄπαις ἦν ὅς γε τὸν ἑαυτοῦ ἀδελφιδοῦν υἱὸν ποιησάμενος κατέλιπεν, ᾧ ὁμοίως ὁ νόμος τὴν κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐξ αὐτοῦ γενομένοις; καὶ διαρρήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖδες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς οὐσίας καὶ κληρονομεῖν ὁμοίως ἀμφοτέρους.
64 ὡς οὖν εἰσὶ γνήσιοι οἱ παῖδες οἵδε, τοῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν ἕκαστος. οὐ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, γνήσιοί εἰσιν, ἀλλ' ἐὰν ἐπιδεικνύῃ ὡς ἀληθῆ λέγει, τοὺς συγγενεῖς παρεχόμενος τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτήμονι καὶ τοὺς δημότας καὶ τοὺς φράτορας, εἴ τι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς Εὐκτήμονα λειτουργήσαντα, ἔτι δὲ ποῦ
65 τέθαπται, ἐν ποίοις μνήμασι· τίς εἶδε τὰ νομιζόμενα ποιοῦντα Εὐκτήμονα· ποῖ δ' ἔτ' ἰόντες οἱ παῖδες ἐναγίζουσι καὶ χέονται, καὶ τίς εἶδε ταῦτα τῶν πολιτῶν ἢ τῶν οἰκετῶν Εὐκτήμονος. ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, καὶ οὐ λοιδορία. καὶ ἐὰν περὶ αὐτοῦ τούτου κελεύητε ἐπιδεικνύναι ὥσπερ καὶ διεμαρτύρησεν, ὑμεῖς τε τὴν ψῆφον ὁσίαν καὶ κατὰ τοὺς νόμους θήσεσθε, τοῖσδέ τε τὰ δίκαια γνήσεται.

---

7.

# ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ.

## ΥΠΟΘΕΣΙΣ.

*Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ γεγόνασι. τούτων ὁ μὲν Μνήσων ἄπαις ἐτελεύτησεν, ὁ δὲ Θράσυλλος παῖδα καταλιπὼν Ἀπολλόδωρον· μόνος δ' Εὔπολις καταλειφθεὶς πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν. ὅθεν Ἀρχέδαμος, πάππος τοῦ λέγοντος τὸν λόγον, τῇ τοῦ Ἀπολλοδώρου μητρὶ συνοικῶν μετὰ τὸν Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολλόδωρον ὡς ὀρφανὸν ἐλεῶν, πολλὰ τὸν Εὔπολιν ἀπήτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκησε. τούτων μεμνημένος Ἀπολλόδωρος εἰσήγαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θράσυλλον τοῦτον, υἱὸν ὄντα τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ Ἀρχεδάμου. τοῦ δὲ Θρασύλλου ἤδη μὲν εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγεγραμμένου, οὔπω δ' εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, ἐτελεύτησεν Ἀπολλόδωρος. καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐγγέγραπται μὲν ὁ Θράσυλλος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐδὲν δ' ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ θείου Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον, λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον εἰς τοὺς φράτορας καὶ γεννήτας κατὰ γνώμην τοῦ Ἀππολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν ποίησιν. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ δὲ στάσις στοχασμός· διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν λόγον οἰκονομῶν τὴν ἔχθραν διεξέρχεται τὴν Ἀπολλοδώρου πρὸς Εὔπολιν, ὅπερ μέγα σημεῖον γίγνεται τοῦ μὴ θέλειν αὐτὴν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρονομηθῆναι.*

Ὤιμην μέν, ὦ ἄνδρες, προσήκειν οὐ τὰς τοιαύτας ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν εἰς

τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα ἐνέγραψεν, ἅπανθ' ὅσα προσῆκεν αὐτὸς ποιήσας, ἀλλ' εἴ τις τελευτήσειν μέλλων διέθετο, εἴ τι πάθοι, τὴν οὐσίαν ἑτέρῳ, καὶ ταῦτ' ἐν γράμμασι κατέθετο
2 παρά τισι σημηνάμενος. ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος φανερὰς κατέστησε τὰς αὑτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος ἀδήλους ἐποίησε, διὸ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς ποιηθέντας. ἔοικε δ' οὐδὲν προὔργου τοῦτο εἶναι· καὶ γὰρ οὕτως αὐτῶν φανερῶς πεπραγμένων ὅμως ὑπὲρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος ἥκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων
3 πρὸς ἐμὲ ἀμφισβητήσοντες. ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ τὰς εὐθυδικίας, κἂν μάρτυρας προὐβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ποιησαμένου με υἱὸν Ἀπολλοδώρου κατὰ τοὺς νόμους· ἐπειδὴ δ' οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ καὶ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον, καὶ παρ' ὑμῖν αὐτοῖς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν ἡμῖν αἰτίαν περὶ τοῦ μὴ
4 βούλεσθαι δοῦναι δίκην τοιαύτην ἐπιφέρωσιν. ἀποδείξω δὲ ὡς οὐ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν κλῆρον Ἀπολλόδωρος οὐ καταλέλοιπε, πολλὰ καὶ δεινὰ ὑπὸ τούτων ἀδικηθείς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως, ὄντα ἀδελφιδοῦν, καὶ μεγάλα εὐεργετημένος ὑφ' ἡμῶν. δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως εὔνοιάν τέ μοι παρασχεῖν, κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτοὺς ἰόντας ἐξελέγχω, βοηθεῖν μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν κἀγὼ δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ γενόμενα διδάσκων ὑμᾶς.

*Εὔπολις γάρ, ὦ ἄνδρες, καὶ Θράσυλλος καὶ Μνή-* 5
*σων ἀδελφοὶ ἦσαν ὁμομήτριοι καὶ ὁμοπάτριοι. τούτοις οὐσίαν ὁ πατὴρ κατέλιπε πολλήν, ὥστε καὶ λειτουργεῖν ἕκαστον ἀξιοῦσθαι παρ' ὑμῖν. ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνείμαντο πρὸς ἀλλήλους. τούτων δύο ἐτελεύτησαν περὶ τὸν αὐτὸν χρόνον, ὁ μὲν Μνήσων ἐνθάδε ἄγαμος καὶ ἄπαις, ὁ δὲ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς τριηράρχων, καταλιπὼν υἱὸν*
*Ἀπολλόδωρον τὸν ἐμὲ νῦν ποιησάμενον. Εὔπολις* 6
*οὖν μόνος αὐτῶν λειφθεὶς οὐ μικρὰ | ἀπολαῦσαι τῶν χρημάτων ἠξίωσεν, ἀλλὰ τὸν μὲν Μνήσονος κλήρου, οὗ καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς αὐτὸν περιεποίησε, φάσκων αὐτῷ δοῦναι τὸν ἀδελφόν, αὐτὸν δ' ἐκεῖνον οὕτω διῴκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων δίκην ὀφλεῖν.*
*Ἀρχέδαμος γὰρ ὁ πάππος οὑμός, ἐξ οὗ τὴν μητέρα* 7
*ἔσχε τὴν Ἀπολλοδώρου, τήθην δὲ ἐμήν, ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν παῖδα ὄνθ' ὡς ἑαυτοῦ, καὶ τὴν μητέρα κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο καὶ εἰσέπραξε τὸ ἡμικλήριον ὧν Μνήσων κατέλιπεν ὅσα τε ἐκ τῆς ἐπιτροπῆς ἀπεστέρησε, δίκας δύο ἑλών. καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὑτοῦ πᾶσαν.*
*καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ Ἀπολλόδωρος ἐχθρῶς* 8
*ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλήλους, ὁ δὲ πάππος οὑμὸς καὶ Ἀπολλόδωρος φιλικῶς, ὥσπερ προσῆκε. τοῖς δ' ἔργοις ἄν τις τεκμήραιτο μάλιστα ὅτι Ἀπολλόδωρος πέπονθεν ὃ ἀντευποιεῖν ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας. συμφορᾷ γὰρ τοῦ πάππου χρησαμένου καὶ ληφθέντος εἰς τοὺς πολεμίους καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ ὁμηρεῦσαι ὑπὲρ αὐτοῦ ἠθέλησεν, ἕως οὗ εὐπορήσειεν ἐκεῖνος τἀργύ-*

9 ριον. ἐξ εὐπόρου τε ἀπορωτέρῳ γεγενημένῳ συν-
διῴκει τὰ ἐκείνου, μεταδιδοὺς ὧν εἶχεν. εἰς Κόριν-
θόν τε στρατεύεσθαι μέλλων, εἴ τι πάθοι, διέθετο
τὴν οὐσίαν καὶ ἔδωκε τῇ ἐκείνου μὲν θυγατρί, ἐμῇ
δὲ μητρί, αὐτοῦ δὲ ἀδελφῇ, διδοὺς αὐτὴν Λακρα-
τίδῃ τῷ νῦν ἱεροφάντῃ γεγενημένῳ. τοιοῦτος ἦν
ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ ἀρχῆς αὐτὸν σώσαντας.
10 ὡς δ' ἀληθῆ λέγω, καὶ δίκας εἷλεν Εὔπολιν δύο, τὴν
μὲν ἐπιτροπῆς τὴν δὲ ἡμικληρίου, τοῦ πάππου συνη-
γωνισμένου καὶ λέγοντος, τά τε χρήματα ἐκομίσατο
δι' ἡμᾶς καὶ ταύτας τὰς χάριτας ἡμῖν ἀνταπέδωκε,
τούτων πρῶτον βούλομαι παρασχέσθαι τοὺς μάρτυ-
ρας. Καί μοι κάλει δεῦρο αὐτούς.

ΜΑΡΤΥΡΕΣ.

11 Αἱ μὲν οὖν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται καὶ
τηλικαῦται τὸ μέγεθός εἰσιν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχ-
θραι περὶ τοσούτων χρημάτων ἦσαν, ἃς οὐχ οἷόν τ'
εἰπεῖν ὡς διελύσαντο καὶ φίλοι ἐγένοντο. μεγάλα
γὰρ τεκμήρια αὐτῶν ἐστιν· Εὔπολις γὰρ αὐτῷ δυοῖν
θυγατέρων οὐσῶν καὶ ἐκ τῶν αὐτῶν γεγονὼς καὶ
χρήμαθ' ὁρῶν κεκτημένον, οὐδετέραν αὐτῷ τούτων
12 ἔδωκε. καίτοι δοκοῦσιν ἐπιγαμίαι καὶ μὴ συγγενεῖς
ἄνδρας ἀλλὰ καὶ τοὺς τυχόντας ἀπαλλάττειν μεγάλης
διαφορᾶς, ὅταν ἃ περὶ πλείστου ποιοῦνται, ταῦτ'
ἀλλήλοις ἐγχειρίζωσιν. εἴτ' οὖν Εὔπολις γεγένηται
αἴτιος μὴ δοῦναι βουληθείς, εἴτ' Ἀπολλόδωρος λα-
βεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι διέμειναν, τὸ
ἔργον δεδήλωκε.
13 Καὶ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανοὺς εἶναι
νομίζω καὶ τοὺς εἰρημένους λόγους· οἶδα γὰρ ὅτι
καὶ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύουσιν ὅτι ἐμέ-

νοντο ἀντίδικοι· τό τε γὰρ μέγεθος τῶν δικῶν, καὶ
διότι πολὺ αὐτὸν Ἀρχέδαμος εἶλεν, περιφάνειάν τινα
ἐποίησεν. ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς καὶ
κύριον τῶν αὑτοῦ κατέστησε καὶ εἰς τοὺς γεννήτας
καὶ εἰς τοὺς φράτορας ἐνέγραψε, τούτοις ἤδη μοι
τὸν νοῦν προσέχετε, ὦ ἄνδρες. Ἀπολλοδώρῳ γὰρ ἦν 14
υἱός, ὃν ἐκεῖνος καὶ ἤσκει καὶ δι' ἐπιμελείας εἶχεν,
ὥσπερ καὶ προσῆκον ἦν. ἕως μὲν οὖν ἐκεῖνος ἔζη,
διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς
ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τοῦ ἐξελθόν-
τος ἐνιαυτοῦ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς πα-
ροῦσιν ἀθυμήσας καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ κατα-
μεμψάμενος οὐκ ἐπελάθετο ὑφ' ὧν καὶ ἐξ ἀρχῆς εὖ
πεπονθὼς ἦν, ἀλλ' ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα ἑαυ-
τοῦ δὲ ἀδελφήν, ἣν περὶ πλείστου πάντων ἐποιεῖτο,
λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ᾔτησε καὶ ἔτυχεν. οὕτω 15
δ' ἐπείσθη ταῦτα ποιῆσαι διὰ ταχέων, ὥστ' εὐθέως
με λαβὼν ᾤχετ' ἄγων πρὸς αὑτὸν καὶ πάντα τὰ αὑ-
τοῦ διοικεῖν παρέδωκεν, ὡς αὐτὸς μὲν | οὐδὲν ἂν
ἔτι πρᾶξαι τούτων δυνηθείς, ἐμοῦ δὲ ταῦτα πάντα
οἵου τε ἐσομένου ποιεῖν. καὶ ἐπειδὴ Θαργήλια ἦν,
ἤγαγέ με ἐπὶ τοὺς βωμοὺς εἰς τοὺς γεννήτας τε καὶ
φράτορας. ἔστι δ' αὐτοῖς νόμος ὁ αὐτός, ἐάν τέ τινα 16
φύσει γεγονότα εἰσάγῃ τις ἐάν τε ποιητόν, ἐπιθεῖ-
ναι πίστιν κατὰ τῶν ἱερῶν ἦ μὴν ἐξ ἀστῆς εἰσάγειν
καὶ γεγονότα ὀρθῶς καὶ τὸν ὑπάρχοντα φύσει καὶ
τὸν ποιητόν· ποιήσαντος δὲ τοῦ εἰσάγοντος ταῦτα
μηδὲν ἧττον διαψηφίζεσθαι καὶ τοὺς ἄλλους, κἂν
δόξῃ, τότ' εἰς τὸ κοινὸν γραμματεῖον ἐγγράφειν,
πρότερον δὲ μή· τοιαύτας ἀκριβείας ἔχει τὰ δίκαια
τὰ παρ' αὐτοῖς. τοῦ νόμου δὴ οὕτως ἔχοντος, καὶ 17
τῶν φρατόρων τε καὶ γεννητῶν ἐκείνῳ οὐκ ἀπι-

στούντων ἐμέ τε οὐκ ἀγνοούντων, ὅτι ἦν ἐξ ἀδελφῆς
αὐτῷ γεγονώς, ἐγγράφουσί με εἰς τὸ κοινὸν γραμ-
ματεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνου τὴν
πίστιν καθ' ἱερῶν. καὶ οὕτω μὲν ὑπὸ ζῶντος ἐποιή-
θην, καὶ εἰς τὸ κοινὸν γραμματεῖον ἐνεγράφην Θρά-
συλλος Ἀπολλοδώρου, ποιησαμένου με ἐκείνου τοῦ-
τον τὸν τρόπον, τῶν νόμων αὐτῷ δεδωκότων. Ὡς
δ' ἀληθῆ λέγω, λαβέ μοι τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

18 Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς
μεμαρτυρηκόσι πιστεύειν, καὶ οἵτινες τῶν ὁμοίως
προσηκόντων ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς
ἐκεῖνος ταῦτα ὀρθῶς καὶ κατὰ τοὺς νόμους ἔπραξε.
κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο, ταύτην τε ἣ
νῦν ἀμφισβητεῖ καὶ Προνάπει συνοικεῖ, καὶ ἄλλην
ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεύς, ἣ τετελεύτηκεν υἱὸν
19 ἄνδρα ἤδη καταλιποῦσα, Θρασύβουλον. ἔστι δὲ νόμος
ὅς, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἄπαις τελευτήσῃ καὶ μὴ
διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως, κἂν ἐξ ἑτέρας
ἀδελφιδοῦς ᾖ γεγονώς, ἰσομοίρους τῶν χρημάτων
καθίστησι. καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ
παρ' αὐτοῖς τούτοις. ἔργῳ γὰρ οὗτοι φανερὸν τοῦτο
πεποιήκασι· τοῦ γὰρ Εὐπόλιδος υἱέος ἄπαιδος Ἀπολ-
λοδώρου τελευτήσαντος τὰ ἡμίσεα Θρασύβουλος εἴ-
ληφεν, οὐσίας καὶ πεντεταλάντου καταλειφθείσης
20 ῥᾳδίως. πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων
τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ
δέ, καὶ εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστίν, οὐκ
ἴσον, ἀλλὰ προτέροις τοῖς ἄρρεσι τῶν θηλειῶν τὴν
ἀγχιστείαν πεποίηκε. λέγει γὰρ „κρατεῖν δὲ τοὺς
ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ τῶν αὐ-

τῶν ὦσι, κἂν μένει ἀμφοτέρω συγγενεῖς ὄντες." ταύτῃ μὲν οὖν οὐδὲ μέρους λαχεῖν προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. ἐκεῖνος τοίνυν οὔτε ἐξ ἀρχῆς ἠμ- 21
φισβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ' ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν· εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. Λαβὲ δὴ αὐτοῖς τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

Ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴ καὶ ἀδελφιδοῦς 22
ἰσόμοιροι κατὰ τὸν νόμον εἰσί. Λαβὲ δὴ καὶ τοῦτον, καὶ ἀναγίγνωσκε αὐτοῖς.

ΝΟΜΟΣ.

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες, μηδὲ τοῦ πρὸς πατρὸς γένους ᾖ προσήκων μηδείς, τότε ἀπέδωκε τοῖς πρὸς μητρός, διορίσας οὓς δεῖ κρατεῖν. Λαβὲ δὲ αὐτοῖς καὶ τοῦτον τὸν νόμον καὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

Ταῦτα τῶν νόμων κελευόντων ὁ μὲν ἀνὴρ ὢν 23
οὐδὲ τοῦ μέρους εἴληχεν, οἱ δ' ὑπὲρ ταύτης τῆς γυναικὸς ἁπάντων· οὕτω τὴν ἀναίδειαν οὐδεμίαν ζημίαν εἶναι νομίζουσι, καὶ ὑπὲρ τούτων τολμήσουσι, καὶ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου ληκτέον, ὅτι Θρασύβουλος ἐκποίητος εἰς τὸν οἶκον τὸν Ἱππολοχίδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθές, ἐκεῖνο δ' οὐ προσῆκον· τί γὰρ ἧττον 24
αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; οὐ γὰρ κατὰ τὸν πατέρα ἀλλὰ κατὰ τὴν μητέρα καὶ τῶν Ἀπολλο-

δώρου τοῦ Εὐπόλιδος υἱέος τὸ μέρος εἴληφε· καὶ τοῦνδε ἐξῆν | αὐτῷ κατὰ ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, εἴπερ τὰ πεπραγμένα
25 μὴ κυρίως ἔχειν ἐνόμιζεν. ἀλλ' οὐκ ἔστιν ἀναισχυντος. μητρὸς δ' οὐδείς ἐστιν ἐκποίητος, ἀλλ' ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ μένῃ τις οἴκῳ κἂν ἐκποιηθῇ. διὸ τῶν Ἀπολλοδώρου χρημάτων οὐκ ἀπεστερήθη τοῦ μέρους, ἀλλὰ μετείληφε τὸ ἡμικλήριον, πρὸς ταύτην νειμάμενος. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

26 Οὕτω μὲν οὐχ οἱ γεννῆται μόνον καὶ φράτορες γεγόνασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος οὐκ ἀμφισβητῶν ἔργῳ δεδήλωκεν ὅτι τὰ πεπραγμένα Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει καὶ κατὰ τοὺς νόμους· οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε. γεγόνασι δὲ ὅμως καὶ ἄλλοι μάρ-
27 τυρες αὐτῶν. πρὶν γὰρ ἐμὲ ἥκειν ἐκ τῆς Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος ὅτι πεποιημένος εἴη με υἱὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτορας, καὶ παραδεδώκει τὴν οὐσίαν, καὶ διεκελεύεθ' ὅπως ἄν, εἴ τι πάθοι πρότερον, ἐγγράφωσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον
28 Ἀπολλοδώρου καὶ μὴ ὡς ἄλλως ποιήσωσι. κἀκεῖνοι ταῦτα ἀκούσαντες, τούτων ἐν ἀρχαιρεσίαις κατηγορούντων καὶ λεγόντων ὡς οὐκ ἐποιήσατό με υἱόν, καὶ ἐξ ὧν ἤκουσαν καὶ ἐξ ὧν ᾔδεσαν, ὀμόσαντες καθ' ἱερῶν ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέλευε· τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ' αὐτοῖς. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

*Ἐπὶ μὲν τοσούτων μαρτύρων, ὦ ἄνδρες, γέγο-* 29
*νεν ἡ ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς τού-*
*τους οὔσης, φιλίας δὲ πρὸς ἡμᾶς καὶ εὐμενείας οὐ*
*μικρᾶς ὑπαρχούσης. ὡς δ' οὐδ' εἰ μηδέτερον τούτων*
*ὑπῆρχε, μήτε ἔχθρα πρὸς τούτους μήτε φιλία πρὸς*
*ἡμᾶς, οὐκ ἄν ποτε Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν*
*κλῆρον τοῦτον κατέλιπεν, οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳ-*
*δίως ἐπιδείξειν. πάντες γὰρ οἱ τελευτήσειν μέλλον-* 30
*τες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ ἐξε-*
*ρημώσουσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' ἔσται*
*τις καὶ ὁ ἐναγιῶν καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς*
*ποιήσων· διὸ κἂν ἄπαιδες τελευτήσωσιν, ἀλλ' οὖν*
*υἱὸν ποιησάμενοι καταλείπουσι. καὶ οὐ μόνον ἰδίᾳ*
*ταῦτα γιγνώσκουσιν, ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς*
*πόλεως οὕτω ταῦτ' ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι*
*τῶν οἴκων, ὅπως ἂν μὴ ἐξερημῶνται, προστάττει*
*τὴν ἐπιμέλειαν. ἐκείνῳ δὲ πρόδηλον ἦν ὅτι εἰ κατα-* 31
*λείψαι τὸν κλῆρον ἐπὶ τούτοις, ἔρημον ποιήσει τὸν*
*οἶκον, προορῶντι ταύτας τὰς ἀδελφὰς τὸν μὲν Ἀπολ-*
*λοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, ἐκείνῳ δ' οὐκ*
*εἰσποιούσας ὄντων αὐταῖς παίδων, καὶ τοὺς μὲν ἄν-*
*δρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ*
*κτήματα πέντε ταλάντων πεπρακότας καὶ τὸ ἀργύ-*
*ριον διανενεμημένους, τὸν δὲ οἶκον αἰσχρῶς οὕτω καὶ*
*δεινῶς ἐξηρημωμένον. ὃς δὴ ταῦτ' ᾔδει τὸν τούτων* 32
*ἀδελφὸν πεπονθότα, πῶς ἂν προσεδόκησεν αὐτός, εἰ*
*καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν,*
*ἀνεψιὸς ὢν ἀλλ' οὐκ ἀδελφὸς αὐταῖς; οὐκ ἐνῆν ἐλ-*
*πίσαι δήπουθεν. Ἀλλὰ μὴν ὅτι ἄπαιδα ἐκεῖνον πε-*
*ριεωράκασι καὶ τὰ χρήματα ἔχουσι καὶ οἶκον ἐκ τοῦ*

φανεροῦ τριηραρχοῦντα ἀνῃρήκασι, κάλει μοι καὶ
τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

33 Εἰ τοίνυν καὶ τοιοῦτοι τὰς φύσεις περὶ ἀλλήλους
εἰσὶ καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησά-
μενον ὑπῆρχον αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλ-
τιον ἂν ἔπραξεν ἢ ταῦτα βουλευσάμενος ἅπερ ἐποίη-
σεν; ἢ νὴ Δία παιδίον ἐποιήσατο λαβὼν παρά του
τῶν φίλων ὄντων, καὶ τούτῳ τὴν οὐσίαν ἔδωκεν;
ἀλλὰ καὶ τοῦτ' ἦν ἄδηλον καὶ τοῖς γεννήσασιν, εἴτε
σπουδαῖον εἴτε μηδενὸς ἄξιον ἔμελλεν ἔσεσθαι, διὰ
34 τὴν ἡλικίαν. ἐμοῦ δὲ πεῖραν εἰλήφει, δοκιμασίαν
ἱκανὴν λαβών. εἴς τε γὰρ τὸν πατέρα καὶ τὴν μη-
τέρα | οἷος ἦν ἀκριβῶς ᾔδει, τῶν τ' οἰκείων ἐπιμελῆ
καὶ τἀμαυτοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσ-
μοθετήσας, ὡς ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης,
ἠπίστατο σαφῶς. ὥστ' οὐκ ἀγνοῶν ἀλλὰ σαφῶς εἰ-
35 δὼς ἐποίει με τῶν αὑτοῦ κύριον. καὶ μὴν οὐδὲ ἀλ-
λότριον ἀλλ' ὄντα ἀδελφιδοῦν, οὐδ' αὖ μικρὰ πεπον-
θὼς ἀλλὰ μεγάλα ἀγαθὰ ὑφ' ἡμῶν, οὐδ' αὖ ἀφιλό-
τιμον, ὃς τὰ ὄντα ἀφιέναι ἔμελλον ὥσπερ οὗτοι τὰ
τοῦ κλήρου πεποιήκασιν, ἀλλὰ βουλησόμενον καὶ
τριηραρχεῖν καὶ πολεμεῖν καὶ χορηγεῖν καὶ πάνθ'
36 ὑμῖν τὰ προσταττόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος. καί-
τοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φι-
λότιμος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιοῦτος εἶναι,
τίς ἂν ἀμφισβητήσειε μὴ οὐκ ἀνδρὸς εὖ φρονοῦντος
εἶναι ταύτην τὴν ποίησιν; ἐγὼ τοίνυν ἕν γε τῶν ὑπ'
ἐκείνου δοκιμασθέντων ἤδη πεποίηκα· γεγυμνασιάρ-
χηκα γὰρ εἰς Προμήθεια τοῦδε τοῦ ἐνιαυτοῦ φιλοτί-

μως, ὡς οἱ φυλέται πάντες ἴσασιν. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Τὰ μὲν ἡμέτερα δίκαια, καθ' ἃ προσηκόντως 37
ἔχειν φαμὲν τὸν κλῆρον, ταῦτ' ἐστίν, ὦ ἄνδρες· δεόμεθα δ' ὑμῶν βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ ἐκείνου πατρός· οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολίτας, ἀλλ' ὡς οἷόν τ' εἰς τὰ ὑμέτερα προθυμοτάτους. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε 38
ἄλλας ἁπάσας λειτουργίας λελειτούργηκε, καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ συμμορίας τὴν ναῦν ποιησάμενος ὥσπερ οἱ νῦν, ἀλλ' ἐκ τῶν αὑτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὢν ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη διαλιπὼν ἀλλὰ συνεχῶς, οὐδ' ἀφοσιούμενος ἀλλ' ὡς οἷόν τ' ἄριστα παρασκευαζόμενος. ἀνθ' ὧν ὑμεῖς κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων, καὶ τὸν υἱὸν αὐτοῦ τῶν χρημάτων ἀποστερούμενον ἐσώσατε, τοὺς ἔχοντας ἀποδοῦναι τὰ ὄντ' αὐτῷ καταναγκάσαντες. καὶ 39
μὴν καὶ αὐτὸς Ἀπολλόδωρος οὐχ ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρόν, ὡς ἱππάδα δὲ τελῶν ἄρχειν ἠξίου τὰς ἀρχάς, οὐδὲ βίᾳ μὲν ἐζήτει τὰ ἀλλότρι' ἔχειν, ὑμᾶς δ' ᾤετο δεῖν μηδὲν ὠφελεῖν, ἀλλὰ φανερὰ τὰ ὄντα καταστήσας ὑμῖν, ὅσα προστάττοιτε, πάνθ' ὑπηρέτει φιλοτίμως, οὐδέν τ' ἀδικῶν ἐκ τῶν ἑαυτοῦ φιλοτίμως ἐπειρᾶτο ζῆν, εἰς αὑτὸν μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν, τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν, ἵνα ἐξαρκοίη πρὸς τὰς δαπάνας. καὶ 40
τούτων τίνα λειτουργίαν οὐκ ἐξελειτούργησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί παραλέλοιπεν ὧν προσῆκεν; ὅς γε καὶ παιδικῷ χορῷ χορη-

γῶν ἐνίκησεν, ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ
τρίπους ἐκεῖνος ἕστηκε. καίτοι τί χρὴ τὸν μέτριον
πολίτην; οὐχ οὗ μὲν ἕτεροι τὰ μὴ προσήκοντ᾽ ἐβιά-
ζοντο λαμβάνειν, τούτων μηδὲν ποιεῖν, τὰ δ᾽ ἑαυ-
τοῦ πειρᾶσθαι σῴζειν; οὗ δ᾽ ἡ πόλις δεῖται χρημά-
των, ἐν πρώτοις εἰσφέρειν καὶ μηδὲν ἀποκρύπτεσθαι
41 τῶν ὄντων; ἐκεῖνος τοίνυν τοιοῦτος ἦν· ἀνθ᾽ ὧν δι-
καίως ἂν αὐτῷ ταύτην τὴν χάριν ἀποδοίητε, τὴν
ἐκείνου γνώμην περὶ τῶν αὑτοῦ κυρίαν εἶναι ποιή-
σαντες. καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ τὴν ἐμὴν ἡλι-
κίαν, εὑρήσετε οὐ κακὸν οὐδὲ ἄχρηστον. ἐστράτευ-
μαι τὰς στρατείας τῇ πόλει, τὰ προστεττόμενα ποιῶ·
42 τοῦτο γὰρ τῶν τηλικούτων ἔργον ἐστί. καὶ ἐκείνων
οὖν ἕνεκα καὶ ἡμῶν εἰκότως ἂν ποιήσαισθε πρόνοιαν,
ἄλλως τε καὶ τούτων τριηραρχοῦντα οἶκον πεντετά-
λαντον ἀνῃρηκότων καὶ πεπρακότων καὶ ἔρημον πε-
ποιηκότων, ἡμῶν δὲ καὶ λελειτουργηκότων ἤδη καὶ
λειτουργησόντων, ἂν ὑμεῖς ἐπικυρώσητε τὴν Ἀπολ-
λοδώρου γνώμην ἀποδόντες ἡμῖν τοῦτον τὸν κλῆρον.
43 Ἵνα δὲ μὴ δοκῶ διατρίβειν περὶ ταῦτα ποιούμε-
νος τοὺς λόγους, βούλομαι διὰ βραχέων ὑμᾶς ὑπο-
μνήσας οὕτω καταβαίνειν, τί ἑκάτερος ἡμῶν ἀξιοῖ,
δηλώσας. ἐγὼ μὲν ἀδελφῆς οὔσης τῆς ἐμῆς | μητρὸς
Ἀπολλοδώρῳ, φιλίας αὐτοῖς πολλῆς ὑπαρχούσης,
ἔχθρας δ᾽ οὐδεμιᾶς πώποτε γενομένης, ἀδελφιδοῦς
ὢν καὶ ποιηθεὶς υἱὸς ὑπ᾽ ἐκείνου ζῶντος καὶ εὖ φρο-
νοῦντος, καὶ εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγρα-
φείς, ἔχειν τὰ δοθέντα, καὶ μὴ εἶναι ἐπὶ τούτοις ἐξ-
ερημῶσαι τὸν οἶκον τὸν ἐκείνου. Προνάπης δὲ τί
44 ὑπὲρ τῆς ἀμφισβητούσης; ἔχειν μὲν τοῦ τῆς γυναικὸς
ἀδελφοῦ τιμὴν τοῦ ἡμικληρίου πένθ᾽ ἡμιτάλαντα,
λαβεῖν δὲ καὶ τόνδε τὸν κλῆρον ἑτέρων ταῖς ἀγχι-

πειίαις προτέρων αὐτοῦ τῆς γυναικὸς οὐσῶν, οὔτ' ἐκείνῳ παῖδα εἰσπεποιηκὼς ἀλλὰ τὸν οἶκον ἐξηρημωκώς, οὐδὲ τούτῳ ἂν εἰσποιήσας ἀλλ' ὁμοίως ἂν καὶ τοῦτον ἐξερημώσας, καὶ ἔχθρας μὲν τηλικαύτης ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς δὲ οὐδεμιᾶς πώποθ' ὕστερον γενομένης. ταῦτα χρὴ σκοπεῖν, ὦ ἄνδρες, κἀκεῖνο ἐνθυμεῖσθαι, ὅτι ἐγὼ μὲν ἀδελφιδοῦς αὐτῷ, ἡ δὲ ἀνεψιὰ τοῦ τελευτήσαντος, καὶ ὅτι ἡ μὲν δύ' ἔχειν ἀξιοῖ κλήρους, ἐγὼ δὲ τοῦτον μόνον εἰς ὅνπερ εἰσεποιήθην, καὶ ὅτι αὕτη μὲν οὐκ εὔνους τῷ καταλιπόντι τὸν κλῆρον, ἐγὼ δὲ καὶ ὁ ἐμὸς πάππος εὐεργέται γεγόναμεν αὐτοῦ. ταῦτα πάντα σκεψάμενοι καὶ διαλογιζόμενοι πρὸς ὑμᾶς αὐτοὺς τίθεσθε τὴν ψῆφον ᾗ δίκαιόν ἐστιν.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

---

## 8.

# ΠΕΡΙ ΤΟΥ ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

### ΥΠΟΘΕΣΙΣ.

Κίρωνος ἄπαιδος γνησίων τελευτήσαντος παίδων ἀδελφιδοῦς τις αὐτοῦ κατὰ πατέρα ἀντιποιηθεὶς τοῦ κλήρου παρέλαβε τὴν οὐσίαν αὐτοῦ παρὰ τῆς γυναικός· καὶ μετὰ ταῦτα ὁ λέγων τὸν λόγον γράφεται τὸν ἀδελφιδοῦν, φάσκων θυγατριδοῦς εἶναι Κίρωνος, καὶ ὅτι ἡ γυνὴ τοῦ τετελευτηκότος ἑκοῦσα προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῷ, ἵνα μέρος δοῦσα αὐτῷ τὰ λοιπὰ κερδάνῃ. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· ζητεῖται γὰρ εἴτε θυγατριδοῦς ἐστιν οὗτος τοῦ Κίρωνος γνήσιος εἴτε οὔ. ἐπιπλέκεται δ' αὐτῷ καὶ ἡ κατὰ ποιότητα ζήτησις·

ὁ γὰρ ἀδελφιδοῦς ἠγωνίζετο, λέγων ὅτι εἰ καὶ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπειδὴ ἐτελεύτησεν ἐκείνη, ὁ δ' υἱὸς αὐτῆς ἀμφισβητεῖ νῦν, προτιμητέος ἐστὶν ὁ κατὰ πατέρα ἀδελφιδοῦς τοῦ ἀπὸ θυγατρὸς ἐκγόνου, κατὰ τὸν νόμον ἐκεῖνον, τὸν κελεύοντα προτιμᾶσθαι τοὺς ἀπὸ τῶν ἀρρένων τῶν ἀπὸ τῶν θηλειῶν. οὗτος γὰρ τεχνικώτατα πάνυ σιωπήσας τοῦτον τὸν νόμον, ἐκ τῆς τῶν τεκόντων διαφορᾶς ἀγωνίζεται, δεικνὺς ὅτι ὅσον θυγάτηρ ἀδελφοῦ οἰκειοτέρα τοῖς τελευτῶσι, τοσοῦτον ἔκγονος ἀδελφιδοῦ διαφέρει. ἔρρωται οὖν ἐνταῦθα τῷ δικαίῳ καὶ ἀσθενεῖ τῷ νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν πάλιν ἐργάζεται δύναμιν.

Ἐπὶ τοῖς τοιούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστὶ χαλεπῶς φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισβητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ τῶν νόμων δίκαια τοῖς σφετέροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν· ὅπερ καὶ νῦν οὗτοι ποιεῖν ἐγχειροῦσι. τοῦ γὰρ ἡμετέρου πάππου Κίρωνος οὐκ ἄπαιδος τελευτήσαντος, ἀλλ' ἡμᾶς ἐκ θυγατρὸς αὐτοῦ γνησίας παῖδας αὑτῷ καταλελοιπότος, οὗτοί τε τοῦ κλήρου λαγχάνουσιν ὡς ἐγγυτάτω γένους ὄντες, ἡμᾶς τε ὑβρίζουσιν ὡς οὐκ ἐξ ἐκείνου θυγατρὸς ὄντας, οὐδὲ γενομένης
2 αὐτῷ πώποτε τὸ παράπαν. αἴτιον δὲ τοῦ ταῦτα ποιεῖν αὐτούς ἐστιν ἡ τούτων πλεονεξία καὶ τὸ πλῆθος τῶν χρημάτων ὧν Κίρων μὲν καταλέλοιπεν, οὗτοι δ' ἔχουσι βιασάμενοι καὶ κρατοῦσι· καὶ τολμῶσιν ἅμα μὲν λέγειν ὡς οὐδὲν καταλέλοιπεν ἐκεῖνος, ἅμα δὲ
3 ποιεῖσθαι τοῦ κλήρου τὴν ἀμφισβήτησιν. τὴν μὲν οὖν κρίσιν οὐ δεῖ μοι νομίζειν εἶναι ταύτην πρὸς τὸν εἰληχότα τοῦ κλήρου τὴν δίκην, ἀλλὰ πρὸς Διοκλέα τὸν Φλυέα, τὸν Ὀρέστην ἐπικαλούμενον· οὗτος γάρ ἐστιν | ὁ τοῦτον παρασκευάσας πράγμαθ' ἡμῖν παρέχειν, ἀποστερῶν τὰ χρήματα ἃ Κίρων ὁ πάππος

ἀποθνήσκων κατέλιπεν, ἡμῖν δὲ τούτους τοὺς κινδύ-
νους ἐπάγειν, ἵνα μηδὲν ἀποδιδῷ τούτων, ἐὰν ὑμεῖς
ἐξαπατηθῆτε πεισθέντες ὑπὸ τῶν τούτου λόγων. δεῖ 4
δὴ τούτου τοιαῦτα μηχανωμένου πάνθ' ὑμᾶς τὰ πε-
πραγμένα μαθεῖν, ἵνα μηδὲν ἀγνοήσαντες τῶν γε-
γενημένων ἀλλὰ σαφῶς εἰδότες περὶ αὐτῶν, οὕτως
ἐνέγκητε τὴν ψῆφον. εἴ τινι οὖν καὶ ἄλλῃ πώποτε
δίκῃ προσέσχετε ἀκριβῶς τὸν νοῦν, δέομαι ὑμῶν καὶ
ταύτῃ προσέχειν ὁμοίως, ὥσπερ καὶ τὸ δίκαιόν ἐστι.
πολλῶν δὲ δικῶν ἐν τῇ πόλει γενομένων, οὐδένες
ἀναιδέστερον τούτων οὐδὲ καταφανέστερον ἀντιποι-
ησάμενοι φανήσονται τῶν ἀλλοτρίων. ἔστι μὲν οὖν 5
χαλεπόν, ὦ ἄνδρες, πρὸς παρασκευὰς λόγων καὶ
μάρτυρας οὐ τἀληθῆ μαρτυροῦντας εἰς ἀγῶνα καθί-
στασθαι περὶ τηλικούτων, παντάπασιν ἀπείρως ἔχον-
τα δικαστηρίων· οὐ μὴν ἀλλὰ πολλὰς ἐλπίδας ἔχω
καὶ παρ' ὑμῶν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε
τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ἂν
μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ' ἐμοῦ τυγχάνει προσ-
δοκώμενον. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' εὐ-
νοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί
μοι τὰ δίκαια.

Πρῶτον μὲν οὖν, ὡς ἦν ἡ μήτηρ ἡ 'μὴ Κίρωνος 6
θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν, τὰ μὲν πάλαι
γεγενημένα λόγων ἀκοῇ καὶ μαρτύρων, τὰ δ' ὥστε
καὶ μνημονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν,
ἔτι δὲ τεκμηρίοις ἃ κρείττω τῶν μαρτυριῶν ἐστιν·
ἐπειδὰν δὲ ταῦτα φανερὰ καταστήσω, τόθ' ὡς καὶ
κληρονομεῖν μᾶλλον ἡμῖν ἢ τούτῳ προσήκει τῶν Κί-
ρωνος χρημάτων. ὅθεν οὖν ἤρξαντο περὶ αὐτῶν, ἐν-
τεῦθεν ὑμᾶς κἀγὼ πειράσομαι διδάσκειν.

Ὁ γὰρ πάππος ὁ ἐμός, ὦ ἄνδρες, Κίρων ἔγημε 7

τὴν ἐμὴν τήθην οὖσαν ἀνεψιάν, ἐξ ἀδελφῆς τῆς
αὑτοῦ μητρὸς αὐτὴν γεγενημένην. ἐκείνη μὲν οὖν
συνοικήσασα οὐ πολὺν χρόνον, τεκοῦσα αὐτῷ τὴν
ἐμὴν μητέρα, μετὰ ἐνιαυτοὺς τέτταρας τὸν βίον ἐτε-
λεύτησεν· ὁ δὲ πάππος μιᾶς μόνης οὔσης αὐτῷ θυ-
γατρὸς λαμβάνει πάλιν τὴν Διοκλέους ἀδελφήν, ἐξ
ἧς αὐτῷ ἐγιγνέσθην υἱεῖς δύο. καὶ ἐκείνην τε ἔτρεφε
παρὰ τῇ γυναικὶ καὶ μετὰ τῶν ἐξ ἐκείνης παίδων,
8 ἐκείνων τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν εἶχεν ἡλικίαν,
ἐκδίδωσιν αὐτὴν Ναυσιμένει Χολαργεῖ, σὺν ἱματίοις
καὶ χρυσίοις πέντε καὶ εἴκοσι μνᾶς ἐπιδούς. κἀκεῖ-
νος μὲν τρισὶν ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμνων
ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς ἡμε-
τέρας μητρός· ὁ δὲ πάππος κομισάμενος αὐτήν, καὶ
τὴν προῖκα οὐκ ἀπολαβὼν ὅσην ἔδωκε διὰ τὴν Ναυ-
σιμένους ἀπορίαν τῶν πραγμάτων, πάλιν ἐκδίδωσι
τῷ ἐμῷ πατρὶ καὶ χιλίας δραχμὰς προῖκ' ἐπιδίδωσι.
9 Ταυτὶ δὴ πάντα πρὸς τὰς αἰτίας, ἃς νῦν οὗτοι λέ-
γουσι, πῶς ἄν τις δείξειε γεγενημένα φανερῶς; ἐγὼ
ζητῶν ἐξεῦρον. ἀνάγκη τὴν ἐμὴν μητέρα, εἴτε θυ-
γάτηρ ἦν Κίρωνος εἴτε μή, καὶ εἰ παρ' ἐκείνῳ διῃ-
τᾶτο [ἢ οὔ], καὶ γάμους [εἰ] διττοὺς ὑπὲρ ταύτης εἱ-
στίασεν ἢ μή, καὶ προῖκα ἥντινα ἑκάτερος ἐπ' αὐτῇ
τῶν γημάντων ἔλαβε, πάντα ταῦτα εἰδέναι τοὺς οἰ-
10 κέτας καὶ τὰς θεραπαίνας ἃς ἐκεῖνος ἐκέκτητο. βου-
λόμενος οὖν πρὸς τοῖς ὑπάρχουσι μάρτυσιν ἔλεγχον
ἐκ βασάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλλον
αὐτοῖς πιστεύητε μὴ μέλλουσι δώσειν ἔλεγχον ἀλλ'
ἤδη δεδωκόσι περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν
ἐκδοῦναι τὰς θεραπαίνας καὶ τοὺς οἰκέτας περί τε
τούτων καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅσα τυγχάνουσι
11 συνειδότες. οὗτος δ' ὁ νῦν ὑμᾶς ἀξιώσων τοῖς αὐ-

τοῦ μάρτυσι πιστεύειν ἔφυγε τὴν βάσανον. καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι μὴ θελήσας, τί ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν ἢ δοκεῖν νυνὶ τὰ ψευδῆ μαρτυρεῖν, τούτου τηλικοῦτον ἔλεγχον πεφευγότος; ἐγὼ μὲν οἶμαι οὐδέν. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λαβέ μοι πρῶτον † ταύτην τὴν μαρτυρίαν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

Ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον 12
ἀκριβέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι
καὶ ἐλεύθεροι παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι
τῶν ζητουμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρ-
τυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζη-
τεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. εἰκό-
τως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν μὲν μαρτυρη-
σάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν
δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς
οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες. οὗτος δ' ὁ 13
πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις πεπλα-
σμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει
πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους;
ἀλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρη-
θήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν,
τούτους δὲ φεύγοντας . . . . ., οὕτως οἰησόμεθα δεῖν
ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λαβὲ οὖν
αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

Τίνας εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι τοὺς 14
χρωμένους τῷ πάππῳ. μεμαρτυρήκασι τοίνυν ἀκοὴν
οὗτοι. τίνας εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς

ἀνάγκη; τοὺς ἐγγυησαμένους καὶ τοὺς ἐκείνοις παρόντας ὅτε ἠγγυῶντο. μεμαρτυρήκασι τοίνυν οἵ τε Ναυσιμένους προσήκοντες καὶ οἱ τοῦ ἐμοῦ πατρός. τίνες δὲ οἱ τρεφομένην ἔνδον καὶ θυγατέρα οὖσαν εἰδότες γνησίαν Κίρωνος; οἱ νῦν ἀμφισβητοῦντες ἔργῳ φανερῶς μαρτυροῦσιν ὅτι ταῦτ᾽ ἐστὶν ἀληθῆ, φεύγοντες τὴν βάσανον. ὥστε οὐ δήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσαιτε εἰκότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν.

15 Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχομεν εἰπεῖν, ἵνα γνώσεσθε ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνός ἐσμεν. οἷα γὰρ εἰκὸς παίδων υἱέων ἐξ ἑαυτοῦ θυγατρός, οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ᾽ εἴ τε μικρὰ εἴ τε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς καὶ συνεθύομεν. καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα, ἀλλὰ καὶ εἰς Διο-
16 νύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς, καὶ μετ᾽ ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ᾽ αὐτόν, καὶ τὰς ἑορτὰς ἤγομεν παρ᾽ ἐκεῖνον πάσας· τῷ Διί τε θύων τῷ Κτησίῳ, περὶ ἣν μάλιστ᾽ ἐκεῖνος θυσίαν ἐσπούδαζε καὶ οὔτε δούλους προσῆγεν οὔτε ἐλευθέρους ὀθνείους, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ πάντ᾽ ἐποίει, ταύτης ἡμεῖς ἐκοινωνοῦμεν καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν καὶ συνεπετίθεμεν καὶ τἆλλα συνεποιοῦμεν, καὶ ηὔχετο ἡμῖν ὑγίειαν διδόναι καὶ κτῆσιν ἀγαθήν, ὥσπερ εἰκὸς
17 ὄντα πάππον. καίτοι εἰ μὴ θυγατριδοῦς ἡμᾶς ἐνόμιζεν εἶναι καὶ μόνους ἐκγόνους ἑώρα λοιποὺς καταλελειμμένους αὐτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων οὐδέν, ἀλλὰ τόνδ᾽ ἂν αὐτῷ παρίστατο, ὃς ἀδελφιδοῦς αὐτοῦ νῦν εἶναί φησι. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ πάντ᾽ ἐστίν, ἀκριβέστατα μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, οὓς οὗτος παραδοῦναι εἰς βάσανον οὐκ ἠθέ-

ἡμῖν, ἴσασι δὲ περιφανέστατα καὶ τῶν ἐκείνῳ χρω-
μένων τινές, οὓς παρέξομαι μάρτυρας. *Καί μοι λαβὲ*
τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

## ΜΑΡΤΥΡΙΑΙ.

Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι μόνον ὅτι ἦν 18
ἡμῶν ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ
ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔπραξε καὶ ἐξ ὧν αἱ γυναῖκες
αἱ τῶν δημοτῶν περὶ αὐτῆς ἐγίγνωσκον. ὅτε γὰρ ὁ
πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε
τρεῖς αὑτοῦ φίλους μετὰ τῶν αὑτοῦ προσηκόντων,
τοῖς τε φράτορσι γαμηλίαν εἰσήνεγκε κατὰ τοὺς ἐκεί-
νων νόμους. αἵ τε γυναῖκες αἱ τῶν δημοτῶν μετὰ 19
ταῦτα προὔκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναι-
κὸς τοῦ Πιτθέως ἄρχειν εἰς τὰ Θεσμοφόρια καὶ ποι-
εῖν τὰ νομιζόμενα μετ' ἐκείνης. ὅ τε πατὴρ ἡμῶν,
ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτορας ἡμᾶς εἰσήγα-
γεν, ὀμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους ἦ μὴν
ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς εἰσάγειν· τῶν δὲ
φρατόρων οὐδεὶς ἀντεῖπεν οὐδ' ἠμφισβήτησε μὴ οὐκ
ἀληθῆ ταῦτ' εἶναι, πολλῶν ὄντων καὶ ἀκριβῶς τὰ
τοιαῦτα σκοπουμένων. καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοι- 20
αύτη τις ἦν ἡ μήτηρ ἡμῶν οἵαν οὗτοί φασι, μήτ'
ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν καὶ γαμηλίαν
εἰσενεγκεῖν, ἀλλ' ἀποκρύψασθαι ταῦτα πάντα, μήτε
τὰς τῶν ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐ-
τὴν συνιεροποιεῖν τῇ Διοκλέους γυναικὶ καὶ κυρίαν
ποιεῖν ἱερῶν, ἀλλ' ἑτέρᾳ ἄν τινι περὶ τούτων ἐπιτρέ-
πειν, μήτε τοὺς φράτορας εἰσδέχεσθαι ἡμᾶς, ἀλλὰ
κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμο-
λογούμενον τὴν μητέρα ἡμῶν εἶναι θυγατέρα γνη-
σίαν Κίρωνος. νῦν δὲ τῇ περιφανείᾳ τοῦ πράγματος

καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς οὐδαμόθεν ἠμφισ-
βητήθη τοιοῦτον οὐδέν. Καὶ ταῦθ' ὡς ἀληθῆ λέγω,
κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

21 Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν ὁ Διοκλῆς ἔπρα-
ξεν ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον
ὅτι ὡμολογούμεθα εἶναι θυγατριδοῖ Κίρωνος. ἧκον
γὰρ ἐγὼ κομιούμενος αὐτὸν ὡς θάψων ἐκ τῆς οἰκίας
τῆς ἐμαυτοῦ, τῶν ἐμαυτοῦ οἰκείων τινὰ ἔχων, ἀνε-
ψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔν-
δον, εἰσελθὼν δὲ εἴσω κομίζειν οἷός ἦν, ἔχων τοὺς
22 οἴσοντας. δεομένης δὲ τῆς τοῦ πάππου γυναικὸς ἐκ
τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης ὅτι
βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα τὸ ἐκείνου συμμεταχειρί-
ζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευ-
ούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες, καὶ τού-
τῳ προσελθὼν μαρτύρων ἐναντίον εἶπον ὅτι ἐντεῦ-
θεν ποιήσομαι τὴν ταφήν· δεδογμένη γὰρ εἴη ταῦτα
23 ποιεῖν ἡ τούτου ἀδελφή. καὶ ταῦτα Διοκλῆς ἀκού-
σας οὐδὲν ἀντεῖπεν, ἀλλὰ καὶ ἐωνῆσθαί τε τῶν εἰς
τὴν ταφήν, τῶν δὲ ἀρραβῶνα δεδωκέναι οὗτος φά-
σκων ταῦτα ἠξίου παρ' ἐμοῦ λαβεῖν, καὶ διωμολογή-
σατο τῶν μὲν ἠγορασμένων τιμὴν ἀπολαβεῖν, ὧν
δὲ ἀρραβῶνα ἔφασκε δεδωκέναι, συστῆσαι τοὺς λα-
βόντας. εὐθὺς οὖν τοῦτο παρεφθέγγετο, ὡς οὐδ'
ὁτιοῦν εἴη Κίρων καταλελοιπώς, οὐδένα λόγον ἐμοῦ
24 πω ποιουμένου περὶ τῶν ἐκείνου χρημάτων. καίτοι
εἰ μὴ ἦν θυγατριδοῦς Κίρωνος, οὐκ ἂν ταῦτα διωμο-
λογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε „σὺ δὲ
„τίς εἶ; καὶ σοὶ δὲ τί προσήκει θάπτειν; οὐ γιγνώσκω
„σε· οὐ μὴ εἴσει εἰς τὴν οἰκίαν." ταῦτ' εἰπεῖν προσ-

ἤμεν, ἅπερ τῶν ἐνόρους φάσκειν λέγειν. νῦν δὲ τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἕω δὲ τἀργύριον ἐκέλευεν εἰσενεγκεῖν. Καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμ- 25
τὸν δὲ μέτα τροπικὸς θέρεος πυριλαμπέος ὥρης
γίνεται· * * * * *
τείνονται μεσάτοιο, δι' οὗ θοὸν ἅρμα τιταίνων
ἴσην Ἠέλιος τεύχει νύκτ' ἄμβροτον ἠοῖ·
τῷ δ' ἔπι χειμερίοιο τροπῆς κύκλος ἐστήρικται·
ἑξείης δ' ἐπὶ τῷ Νότιος πέλει, οὗ ῥά τε βαιὴν
φράζεο μοῖραν ὕπερθε, τὸ γὰρ πλέον ἔσθ' ὑπὸ γαῖαν·
τοὺς δὲ μέσους τέμνουσι δύω κύκλοι ἄξονος αὐτοῦ

*ἄκρης ἀρχόμενοι κορυφῆς· αὐτοί γε μὲν ἄμφω*
*ἀλλήλαυς ἄχρις Νοτίου τέμνουσι πόλοιο,*
*ὃς μὲν ἐνὶ θνητοῖσι καλούμενος ὀρθὸν Ὁρίζων,*
*ὃς δὲ Μεσημβρινὸς ὑψοῦ ἄκρης κυρτούμενος αἴθρης.*
*ἀμφότεροι δ' ἄρα τοίγε πόλων ἔντοσθεν ἐόντες*
*ἐντὸς ἐέργουσιν δίνην περικείμενοι ἄστρων.*
*οἵδε μὲν ἐν πραπίδεσσιν ἀριφραδέες τελέθουσιν*
*γνώσασθαι κύκλοι. τοὺς δ' αὖθ' ἑτέρους καὶ ὑπ' ὄσσοις*
*δερκόμεθ', εὖτ' ἂν γαῖαν ἐπιτρέχῃ ἀμβροσίη νύξ,*
*τὸν μὲν ἴσον χροιῇ λευκῷ φαίνοντα γάλακτι,*
*τὸν δ' ὑπὸ δεικήλοισι δυώδεκα παμφαίνοντα*
*Ζωδιακόν· λοξοὶ δ' ἐπαμοιβαδὶς ἐζώσαντο*
*οὐρανὸν ἀμφότεροι δίχα τέμνοντές σφεας αὐτούς.*
*ἑπτὰ δ' ἄρ', ὥσπερ πρόσθεν ἀείσαμεν, εἰσὶν ἄιστοι*
*καὶ μοῦνον πυκινῇσιν ἐνὶ φρεσὶν ἑστηῶτες,*
*οὕνεκεν οὐ ζώων μορφαῖς ὁλκοῖς τε φαεινοῖς*
*οὐδὲ μὲν οὐ χροιῇσι διάκριτοι εἰσορόωνται,*
*ἀλλ' αὕτως δίνῃσιν ὀιόμεθά σφεας ἄστρων*
*κυκλοῦσθαι, τάπερ αὐτὸς ἀτειρὴς αἰὲν ἀγινεῖ*
*οὐρανὸς ἐν στροφάλιγγι περὶ χθόνα δῖαν ἑλίσσων.*
*ἡ γὰρ δὴ τὸν μέν τε Βορήιον ἀστέρες Ἄρκτου*
*μείζονος, ἣν Ἑλίκην ἐλάται νηῶν ὀνόμηναν,*
*ἀμφιχαράσσονται ῥοίζῳ στρωφώμενοι αἰεί,*
*οἵτε οἱ ἀκροτάτοισι φαείνονται περὶ ποσσίν·*
*ἄντυξ δ' αὖ κύκλοιο μέσην διὰ χεῖρα Βοώτου*
*τέμνει ὑπ' ἀγκῶνος σκαιοῦ, κεφαλῆς τε Δράκοντος*
*ἀκροτάτης ψαύει, στέρνον θ' ὕπο Κηφέος εἶσιν*
*καὶ κλεινῆς ἀλόχοιο παραὶ ποσὶ Κασσιεπείης.*
*κύκλος δ', ὅστε τρέπει θέρεος πυριλαμπέος ὥρην,*
*ἀστέρι δινεύοντι περιγράφεται κατ' Ὄλυμπον*

*Καρκίνου ὀγδοάτης μοίρης ἔπι παμφαίνοντι·*
*κεῖται δὲ τμήγων μέσσον διὰ Καρκίνου αὐτόν,*
*ξανθήν τ' αὐχενίην χαίτην χαροποῖο Λέοντος,*
*σπεῖράν τε πρώτην Ὄφιος, βριαροῦ τ' Ὀφιούχου*
*ὤμους, Ὄρνιθός τε δέρην τανυσιπτερύγοιο,*
*καὶ πόδας Ἱππείους, χειρός τ' ἀγκῶνα βορείου*
*Ἀνδρομέδης, καρπόν τε χερὸς λαιὴν δέ τε κνήμην*
*Περσέος, ὑστάτιόν τε ποδὸς θέναρ Ἡνιόχοιο,*
*καὶ βριαρῶν Διδύμων δύο σὺν χείρεσσι κάρηνα.*
*αὐτὰρ ἰσημερινόν τις ἑῷ φράσσαιτ' ἐνὶ θυμῷ*
*ἀστέρος ἐκ μεσάτοιο χαρασσόμενον Κριοῖο,*
*κεῖθεν δ' αὖ παραμειβόμενον Ταύρου πόδας ἄκρους,*
*καὶ καλὴν ζώνην θηροκτόνου Ὠρίωνος,*
*Ὕδρης θ' ὁλκὸν ἀπειρεσίης, Κρητῆρά τε μέσσον,*
*ἑξῆς δ' ἀκροτάτου στολμοῦ ψαύοντ' ἐρατεινῆς*
*Παρθένου, ἰοβόλου τε διὲκ χηλῆς περόωντα*
*Σκορπίου, ἰγνύας τε διακρίνοντ' Ὀφιούχου,*
*καὶ χαίτης ἄκρης ἐπαφώμενον ὠκέος Ἵππου,*
*μέσσον τ' ἀμφοτέροισιν ἐν Ἰχθύσι δινεύοντα.*
*χειμερίου δὲ τροπῆς κύκλον θοοῦ Αἰγοκερῆος*
*σκέπτεο πὰρ μέσσοιο διεκπερόωντ' ἐπὶ γοῦνα*
*ἀμφότερ' Ὑδροχόου, καὶ Κήτεος εἰναλίοιο*
*οὐρήν, ἠδὲ Λαγωοῦ ἀπὸ στέρνων ἐπὶ μέσσα*
*νισσόμενον, πρώτους τε πόδας Κυνός, ἠδὲ καὶ Ἀργοῦς*
*ποντοπόρου τέμνοντα δι' αἰθέρος ἄκρα κόρυμβα,*
*Κενταύρου τ' ὤμους νοτίους, κέντρον τ' ὀλοοῖο*
*Σκορπίου, ἠδὲ βιὸν στέρνων μέτα Τοξευτῆρος.*
*τὸν δ' ἄρα δὴ νότιον, μεθ' ὃν οὐκέτι φέγγος ὁρᾶται*
*ἄστρων ἀνθρώποις, οἳ δὴ χθόνα τήνδε νέμονται,*
*ὁπλῇσιν Κένταυρος ὑπὸ σφετέρῃσι χαράσσει,*

πηδάλιόν τε νεός, τὴν ἀκροτάτῃσι τεμοῦσα
Πηλίου ἐν κορυφαῖς Παλλὰς θέτ' ἀν' ἀστράσιν Ἀργώ.
οἱ δὲ δύω, τοίπερ τε πόλῳ διαπειραίνονται,
ἀστεμφεῖς ἑστᾶσι καὶ ἀκλινέες περὶ κόσμον,
πάντων δεικήλων αἰεὶ ἐπαφώμενοι ὁλκοῦ·
ὃς μὲν γάρ θ' ὕψοῦ θοοῦ οὐρανοῦ ἐστήρικται
ἠῴην οἶμον καὶ δείελον Ἠελίοιο
κρίνων καὶ θνητοῖσιν ἄγων βαιὴν λύσιν ἔργων·
ὃς δὲ περιστρέφεται πύματον πόντον τε καὶ αἶαν
φαίνων ἀντολίας, δύσιάς θ' ὑπὸ βένθεσι κεύθων,
ὅς ῥά θ' Ὁρίζων κύκλος ὑπ' ἀνθρώπων πεφάτισται,
οὕνεκα μηκίστην ὅσσων ἐπιτέμνει ὀπωπήν.
ὁλκὸς δ' αὖτε Γαλαξίεω βαιῇ μὲν ὁρᾶται
λαμπετόων μοίρῃ, τὸ δέ οἱ πλέον ἐστὶν ἀμαυρόν·
γυροῦται δ' ὕψοῦ μὲν ἐπὶ πνοιαῖς Βορέαο
ἐν θρόνῳ ἑζομένης γούνων ἄχρι Κασσιεπείης,
πὰρ κεφαλὴν Κηφῆος· ὁ δ' Ὄρνιθος πτερὰ τέμνει,
Αἰητοῦ τε μέσον, καὶ Τόξων ἄγχι κορώνης
ἀκρότατον νεῦρον, θηρὸς φονίοιό τε κέντρον,
ἠδὲ Θυτήριον ἄκρον ἰδ' ὁπλὰς Κενταύροιο
τέσσαρας· ἐκ δ' ἄρα κεῖθεν ἀνέρχεται ἐκ Βορέαο
ἄψορρος διὰ Νηὸς ἀμειβόμενος κατὰ πρύμνην,
καὶ κνήμας Διδύμων, κορυφῆς θ' ὕπερ Ὠρίωνος,
καὶ γόναθ' Ἡνιόχου, γουνός τ' ἔπι γοργοφόνοιο
δεξιτεροῦ Περσῆος, ὃ δὴ τέταθ' ὥστε θέοντος.
Ζωδιακὸς δ', ὅσπερ τε κατ' οὐρανὸν ἔπλετο πάντων
εὐτροχάλων κύκλων μάλ' ἀγανότατος καὶ ὁρητός,
δώδεχ' ὑπ' εἰδώλοισι κεκασμένος εἶσι δι' αἴθρης·
ἀμφὶ δ' ἄρ' αὐτὸν κεῖται ὑπ' ἀστράσι παμφαίνοντα
Κριὸς καὶ Ταῦρος, Δίδυμοι δ' ἐπὶ τῷδε, μετ' αὐτοὺς
Καρκίνος ἠδὲ Λέων, στάχυάς τ' ἐν χερσὶ φέρουσα

Παρθένος ἀνθρώπων γενεὴν ποθέουσα παλαιῶν,
Χηλαί θ', ἃς καὶ δὴ μετεφήμισαν ἀνέρες ἱροὶ
καὶ Ζυγὸν ἐκλήισσαν, ἐπεὶ τετάνυνθ' ἑκάτερθεν
οἷαί περ πλάστιγγες ἐπὶ ζυγοῦ ἑλκομένοιο,
Σκορπίος ἐστὶ δ' ἔπειτα, βίη τ' ἔπι Τοξευτῆρος,
καὶ δὲ καὶ Αἰγόκερως, μεθ' ὃν Ὑδροχόος τε καὶ Ἰχθῦς. —
Οἴκοις μὲν δὴ πάντες ἑοῖς παρεόντες ἄριστοι
ἀστέρες ἐν γενέθλῃ, ἐπεὶ ἐσθλοδόται μὲν ἀρείω
καὶ πλέον' ἐσθλὰ διδοῦσι, κακοὶ δέ τε μείονα λυγρά.
τῶ μάλα χρὴ σκέπτεσθ', ὁπόσοι σφετέροισι δόμοισιν
ἠὲ καὶ εἰν ὁρίοισιν ἑοῖς βεβαῶτες ὁρῶνται·
εἰ μὲν γὰρ πλέονες, πολὺ φέρτερον, εἰ δέ τε παῦροι,
μειότερον κῦδος βιότῳ καὶ πρῆξιν ὄπασσαν.
Ἀλλὰ καὶ ἀλλήλων ὅσ' ἀμειβόμενοι κλυτοφεγγεῖς
οἴκοις ἐκτελέουσι, μάλα χρειὼ καταλέξαι.
Φαίνων μέν τε Διὸς ζώοις μεγακύδεας ἄνδρας
τεύχει, καὶ βασιλεῦσιν ἰδ' αὖθ' ἑτάροισιν ἀνάκτων
ἐς φιλίην ζεύγνυσι, καὶ αὐτοὺς πολλάκι δασμῶν
πρήκτορας ἐξανέφηνεν ἐυπρήσσοντας ἄναξιν,
χρήματά τ' ἐν χερσὶν δῶκεν βασιλήια νωμᾶν·
πολλάκι δ' ἀλλοτρίων τέκνων πατέρας καλέεσθαι
δῶκεν, ἢ ἐκθεμένοις παῖδας σφετέρους πάλι δῶκεν.
Ζεὺς δὲ Κρόνοιο τόποις παρεὼν βίοτον μὲν ὀπάζει
εὐκτεάνους τε τίθησιν, ἀτὰρ πολυγηθέος ὄλβου
φειδωλούς, μηδ' ὅσσον ἑῶν κτεάνων ὀρέγοντας,
ἠπεδανὸν στέρνοισι νόον καὶ ἄναλκιν ἔχοντας,
ἀμφὶ ἕθεν πολὺ μεῖον ἢ ὧν πέλας ὧσι φρονοῦντας,
ἐν δ' ἔργοις πρήξει θ' ἑτέροις ὑποπεπτηῶτας·
ὅσσα δέ τ' ἐκτελέουσιν, ἀποκρύπτει κλέος ἐσθλὸν
πολλάκις ἀλλοτρίων, | οἵ καί σφισιν αἶσχε' ἔδωκαν.

*ἐν δ' Ἄρεως ὁρίοισιν ἢ ἐν ζώοισι βεβηκὼς*
*Φαίνων νωχελέας τε καὶ ἀδρανέας μάλα ῥέξει,*
*δειλοὺς πανταρβεῖς τε, φρεσὶν καταπεπτηῶτας,*
*αὐχμηρούς, ἑὸν ἦτορ ἀεὶ βλάπτοντας ἀνίαις.*
*ἀλλ' Ἄρης οἴκοισι Κρόνου πολιοῖο βεβηκὼς*
*πανθαρσεῖς τεύχει καὶ πρήξεσι τολμήεντας,*
*πρὸς δ' ἔτι θαρσαλέους τε καὶ εὐτόλμους καὶ ἀτρέστους,*
*πρῆξιν παντοίην τε καὶ ἔργα τελοῦντας ἀμόχθως,*
*οἷσί τ' ἐφορμήσωσιν ἀεὶ τέκμωρ ἐπάγοντας·*
*φθείρει δὲ κλῆρον πατρώϊον, ἠδὲ συναίμους*
*πρεσβυτέρους πάντας κρυερῷ ζόφῳ ἀμφικαλύπτει.*
*Ἀφρογενοῦς δὲ Κρόνος παρεὼν οἴκοις τάδε ποιεῖ·*
*πρεσβυτέραις ζεύγνυσιν ἰδὲ δμωῇσιν ἀκιδναῖς,*
*ἢ ξυνὴν δήμοισι κύπριν μισθοῦ παρεχούσαις·*
*πρὸς δ' ἔτι δυσγαμίην καὶ δυστεκνίην μάλ' ὀπάζει,*
*στείραις ἠδ' ἀτόκοισι συνάπτων δυσκλέα λέκτρα·*
*δηθάκι καὶ χείρεσσιν ἑαῖς ἀλόχους ἐδάϊξαν*
*ζήλῳ ἀλαστήσαντες ἐπ' αἴσχεσιν, οἷς τελέουσιν.*
*Ἀφρογενὴς δὲ Κρόνοιο δόμοις λεχέων ὀλετῆρας*
*ἀλλοτρίων ἔρρεξε, καὶ ἀσπέρμους θέτο τέκνων,*
*οὐ μάλα κηδομένους μάχλου ἕνεκεν φιλότητος*
*οὔτε φίλων σφετέρων, οὐδ' αὖ πατέρων ἀλέγοντας·*
*ἢ γὰρ δὴ κεδνῶν ἑτάρων γάμον αἰσχύνουσιν,*
*ἢ καὶ μητρυιῇσιν ἑαῖς ἢ παλλακίδεσσιν*
*σφωϊτέρου γενετῆρος ὁμὸν λέχος εἰσανέβησαν.*
*ἐν δ' ἄρα χρυσοφαοῦς Ἑρμοῦ ζώοισι βεβηκὼς*
*Φαίνων ὀξείας μερόπων ἤμβλυνεν ἀκουάς,*
*ἢ λαλιῆς ἤμερσε φίλης καὶ γλῶσσαν ἔδησεν,*
*δεινοὺς δ' ἐν πραπίδεσσι καὶ οὐλοὰ μητιόωντας*
*κρυπταδίως τεύχει, σφέτερον νόον οὔτινι θνητῶν*
*φαίνοντας, δακετῶν φονιώτερον ἰὸν ἔχοντας,*

καὶ δὲ καὶ ἀρρήτων μύστας τελετῶν, μακάρων τε
ὄργια γιγνώσκοντας, ὅσ' ἐν βίβλοις ἐχαράχθη
κρυπταῖς, ἃς οὐ πᾶσι βροτοῖς θέμις ἐν φρεσὶν ἴδμεν·
ταύτης δ' οὐκ ἂν ὄναιντο δαημοσύνης· τάδε γάρ σφιν
ἀντ' ἀγαθῶν καὶ λυγρὰ.καὶ ἀντία γίνεται αἰεί.
ταῦτα δὲ καὶ Στίλβων ῥέξει Κρόνου ἐν μεγάροισιν·
ἀλλ' ἄρα τοῖς ἦδος πέλεται σφετέρων ἀπὸ μόχθων·
τεύχει δ' οὐ μοῦνον βίβλων ἐπιίστορας ἱρῶν,
παννυχίδων τελετῶν θ' ἡγήτορας, ἀλλὰ καὶ ἐσθλοὺς
μάντιας, ἀστρονόμους καὶ ὀνειροπόλους, προπάροιθεν
ἑζομένους θυσιῶν, μακάρων ἄπο θέσφατα θνητοῖς
φαίνοντας, πτηνῶν τε ποτῆς ἄπο θεσπίζοντας,
πρήξεσι δ' ἐν βιότου ἑτέροις ὑποπεπτηῶτας.
ὅσσοις δ' αὖ Φαέθων Ἄρεως οἴκοισι βέβηκεν,
τρισμάκαρες στρατιῶν ἡγήτορες, ἔν τε βροτοῖσιν
τιόμενοι πολίων ἡγήτορες ἢ βασιλῆες.
ὣς δ' αὔτως καὶ Θοῦρος ἐπὴν Διὸς ἐς δόμον ἔλθῃ,
δωρεῖται κῦδος καὶ ἀπειρέσιον κράτος ἀνδρῶν·
τεύχει καὶ νηῶν ἠδ' ἱππήων πρυλέων τε
ἡγεμόνας βασιλεῦσιν ἀρηρότας, οἳ κατὰ μῶλον
ἀνθρώπους κτείνοντας ἑῇ ὀπὶ καὶ μεμαῶτας
* * * * εὖ δεδάασιν·
εἰ δ' ἄρα μὴ κέντρῳ πέλεται μηδ' ἐς τόσον εἴη
ὕψος, ἀειρόμενοι πάντων σφετέρων ὕπερ αὐτοὶ
τάττονται, κἢν δμῶες ἀεικέλιοι τελέθωσιν.
ἐν δ' ἄρα Κυπρογενοῦς ζώοις Ζεὺς ὄλβον ὀπάζει
παντοῖον, κτεάνων τε δόμους πίμπλησι βροτοῖσιν,
αὐτοὺς δ' αὖθ' ἑτάρους ἢ καὶ συνέδρους βασιλήων
θνητοὺς λαοῖσι καὶ ἐν πολίεσσιν ἀγητοὺς
τεύχει, καὶ μακάρων ἱερεῖς σηκῶν τε προέδρους,

*αῖς κυδαλίμους ἠδ' ἐξαίτοις γεράεσσιν,*
*ρήξιος ἐκ πάσης συναθροίζοντας πολὺν ὄλβον,*
*δήμου θ' ἡγητῆρας, οἳ εὖ χείλεσσιν ἑοῖσιν*
*φθέγγοντ' εἰν ἱεροῖσιν ἀκουόμενοι ὑπὸ λαῶν,*
*ζευγνυμένους τ' ἀνδρῶν μεγάλων φιλότητι γυναικῶν,*
*ὧν ἄπο κυδήεντες ἰδ' ὄλβιοι ἐξεγένοντο.*
*καὶ Κυθέρη Διὸς οἴκῳ ἢ εἰν ὁρίοισι φανεῖσα*
*εὐκλέας ἐν πολίεσσι καὶ ἐν δήμοισι τίθησιν·*
*κοσμεῖ καὶ μίτρῃσι πέπλοισί τε πορφυρέοισιν,*
*στέμμασί τε χρυσοῦ, τοὺς δ' αὖ γεράεσσ' ἐρατοῖσιν·*
*ἠδὲ γάμους δῶκεν φιλίους, καὶ λέκτρα γυναικῶν*
*ὤπασεν εὐθαλάμων, λέκτροις δέ τε δῶκε γυναικῶν*
*εὐόλβων ἐν ἑῇσιν ἔμεν πολίεσσιν ἀρίστοις,*
*κτήματά θ' ἕξουσιν κλεινὸν βίοτόν τε καὶ οἴκους·*
*προσφιλέας δ' ἔρδει καὶ τιμήεντας ἅπασιν,*
*πειθοῖ καὶ χαρίτεσσι τετιμένον ἦτορ ἔχοντας·*
*ἠὲ καὶ ἄνδρας ἔτευξε γυναικείοισιν ἐπ' ἔργοις,*
*ἐξ ὧν χρήματα πολλὰ καὶ εὐφροσύνην πόρεν ἐσθλήν·*
*δηθάκι δ' αὖθ' ὑποτάσσει ὑπ' ἀσχολίῃσι τυράννων*
*ἢ μεγάλων ἀνδρῶν, οἷσι κράτος ἶσον ἄναξιν.*
*Ζεὺς δ' ἄρ' ἐν Ἑρμείαο τόποις πολύολβον ἔθηκεν,*
*εὐκλε' ἐπιφροσύνης ἕνεκεν, βασιλήιον ὄλβον*
*νωμῶντ' ἐν χείρεσσι, καὶ ἐκ πολίων ἐθνέων τε*
*χρήματα καὶ δασμοὺς συναγειρόμενον βασιλεῦσιν,*
*ἐν δ' ἔργων πρήξει μέγ' ὑπείροχον, ἐν δ' ἄρα τοῖσιν*
*κεκλόμενον, μέγα δ' αὖτε νόῳ φρονέοντα, καὶ ἐσθλὴν*
*κτῆσιν ἀπ' ἀσχολίης βιότου φορέοντα πρὸς οἴκους.*
*ἔμπαλι δ' Ἑρμείης δόμῳ εὐφεγγοῦς Φαέθοντος*
*παιδείης πραπίδεσσι σοφῆς παιδεύματ' ἔχοντας,*
*παίδων θ' ἡγητῆρας ἢ αὐτῶν θῆκεν ἀνάκτων,*
*ἢ δίφρῳ ἐξομένους, ὅθι τ' ἀργύρου ἐστὶν ἀμοιβή,*

ἠὲ νόμων θεσμῶν τ᾽ ἐπιίστορας, ὧν ἕνεκ᾽ αἰεὶ
πειθὼ ὁμῶς κῦδός τε κατὰ πτόλιάς μέγ᾽ ἔχουσιν,
ῥητῆρας μύθων τε καὶ εἰν ἀγορῇσιν ἀρίστους
260 νείκεά τ᾽ ἰθύνειν καὶ τειρομένοισιν ἀρήγειν,
ἔν τε δικασπολίῃσιν ἐριδμαίνοντας ἔπεσσιν,
ὧν ἄπο πλοῦτον ἀπειρέσιον καὶ χρήματ᾽ ἄγειραν·
ἄλλοι δ᾽ αὖτε πέλονται ἀπαγγελέες βασιλήων,
πίστιν τ᾽ ἀμφὶ δίκῃσι θεμιστοπόλων ἀπ᾽ ἀνάκτων
265 ἴσχουσιν, κείνοις σφετέρῳ νόῳ ἰθύνοντες.
ἐν δ᾽ ἄρα τοι Παφίης Ἄρης οἴκοισι βεβηκὼς
ἀλλοτρίων λεχέων κρυπτοὺς λυμάντορας ἔρδει,
δώροις ἠδὲ δόλοισιν ὀπιπεύοντας ἑταίρων
εὐνέτιδας πηῶν τε, καὶ αἴσχεα μακρὰ τελοῦντας·
271 ἀλλ᾽ ἄρα κἀκείνων βιότοις ὀλέθρους ἐπάγουσιν,
ἢ καὶ ἑὰς κεδνὰς ἀλόχους ὀλέκουσι χέρεσσιν,
270 δύσγαμα νυμφεύοντες ἀπ᾽ ἀλλοτρίων ὑμεναίων.
273 ζώοις δ᾽ αὖ Πυρόεντος ἐπεμβεβαυῖα Κυθήρη
δυσγαμίην τεύχει τε καὶ ἐκ λεχέων μάλ᾽ ἀνίας·
275 ἢ γὰρ ἄγοντ᾽ ἀλόχους, ὧν ἄργυρον ὦνον ἔδωκαν,
δμωΐδας, αἵτ᾽ αὐτοὺς μάχλοις ἔργοισιν ἔπεισαν,
ἠὲ πολυμνήστῃσι συνευνῶσιν φιλότητας
αἰεὶ κλεπτομέναις, ὧν εἵνεκα δηριόωσιν·
οὐ γὰρ ταὶ τίουσ᾽ οὐδ᾽ αὖ φιλέουσι συνεύνους·
280 τῷ δὴ καὶ κρίσιας καὶ νείκεα πολλάκις ἔσχον
σὺν σφετέραις ἀλόχοισι, καὶ ἀλλήλους ἀθέριξαν
* * * καὶ αὐτῶν εἵνεκα δηθὰ
ἐν συνοχῇσι γένοντο καὶ ἀπλήτοις ἀχέεσσιν,
ἠδὲ γυναικείης κεφαλῆς χάριν εἰργμὸν ἔνεικαν·
ἢν δὲ γυναικὸς ἔῃ γενέθλη, μάλ᾽ ἀγήνορα τεύχει
285 καὶ γαῦρον, βουλῇσιν ἑαῖς πίσυνον καὶ ἄκαμπτον,
290 τάς τ᾽ ἄλλας ἄνδρεσσιν ἴσας κάμνουσαν ἀνίας·
286 πάγχυ δ᾽ ἄρ᾽ ἐς φιλότητα δύην, τοκετῶν ἐποχήν τε

*ὀτλήσει, καὶ δηθὰ λυγρῇ περὶ γαστρὶ μογήσει,*
*ἤτοι πρὶν γονίμης ὥρης βρέφε' ὠμοτοκοῦσα,*
*ἠὲ νεκρῶν ἐν γαστρὶ μέλη τέμνουσ' ἄπο τέκνων.*
*ναὶ μὴν καὶ Πυρόεις οἴκοις θοοῦ Ἑρμάωνος*
*οὐλοὰ μηδομένους στέρνων ἔντοσθεν ἔθηκεν,*
*ἄγριά τ' ἐν πραπίσιν βουλεύματα ποικίλλοντας,*
*πρὸς δὲ κακοφροσύνῃσιν ἀεὶ μερόπεσσι συνόντας,*
*ὡς δὴ καί τ' ἄλλοις ὑποφήτορας ἔμμεν ἀνιῶν·*
*καὶ δὲ δικορραφίης δεδαηκότες εἰν ἀγορῇσιν*
*καὶ κρίσιας θαμινὰς καὶ νείκεα πυκνὰ ἑκόντες*
*ἴσχουσιν, φήμη δὲ κακὴ περιδέδρομεν αὐτοὺς*
*καί τε δικῶν μέγα πλῆθος, ὃ δὴ μάλ' ἀχρήμονας ἔρδει·*
*πολλοὶ καὶ παίδων τῶνδ' ἡγητῆρες ἔασιν·*
*πρὸς δ' ἔτι καὶ ψεύστας, ἀθέους, ἀθεμίστια ἔργα*
*μηδομένους, κλῶπας, ληίστορας, ἀνδροφονῆας,*
*ὅρκων οὐδ' ὅσσον τι νόῳ κρυερῷ ἀλέγοντας.*
*ταῦτα δὲ καὶ Στίλβων Ἄρεως ἐν δώμασιν ἔρδει,*
*πλαστογράφους τεύχων, λυμάντορας, ἠπεροπευτάς,*
*ἀλλοτρίου πλούτοιο λιλαιομένους κτεάνων τε·*
*πολλάκι καὶ κτεάνων πίστεις, ὧνπέρ τις ἔδωκεν*
*λάθρῃ παρθέμενος, κακομητίῃ ἠρνήσαντο,*
*πολλάκι* * * * * *
*χρήματα παῦρα διδοῦσιν, ἃ πολλῶν χρεῖος ἐτύχθη·*
*πρὸς δ' ἔτι φαρμακίης ὀλοῆς ἐπιίστορας ἔρδει·*
*ὧν ἕνεκεν πάντων καὶ ὑπ' ἴδρισιν ἶφι μάχεσθαι*
*λάσθαις κερτομίαις τε κατὰ πτόλιας σοβέονται.*
*ἐν δ' Ἑρμοῦ ζῴοισι φιλομμειδὴς Ἀφροδίτη*
*θῆκε προϊσταμένους μεγάλων βιότοιο γυναικῶν,*
*κείνων δ' εἵνεκα δηθὰ κρίσεις καὶ νείκε' ἔχοντας,*
*οἷς ἔπι κῦδος ἔθηκεν ἰδ' εὐκλέα πολλάκι νίκην·*
*οἱ δὲ θεῆς ἱεροῖο προφήτορες εὐκτεάνοιο*

γίνονται, τιμὰς ἰδ᾽ ἀπ᾽ αὐτοῦ πλοῦτον ἔχοντες·
τεύχει δ᾽ ἐν τούτοισι τόποις καλὴ Κυθέρεια
αἰόλ᾽ ὑπὸ χροιῇ ποικίλματα δαιδάλλοντας
παντοίοις ζώοισιν ἐοικότα, τοὺς μὲν ἐφ᾽ ἱστῶν
κερκίσιν ἠδὲ χερῶν τεχνήμασιν ἀμφί τε πέπλοις,
τοὺς δὲ καὶ ἐν γραφίοις μελιηδέος ἄνθεσι κηροῦ
δεικνύντας πάντων μορφὰς θηρῶν τε καὶ ἀνδρῶν,
ἄλλους δ᾽ ἐν πετάλοις στεφανώματα ποικίλλοντας,
οὓς δὲ καὶ ἀνθοβάφους ἁλίων ἄπο θήκατο κόχλων,
εὐόδμων τε μύρων τεῦξεν τεχνήτορας ἄνδρας.
Ἑρμῆς δ᾽ αὖτ᾽ οἴκοισι φανεὶς καλῆς Κυθερείης
προσφιλέας θῆκεν καὶ τιομένους μάλα πᾶσιν,
μορφῇ θ᾽ ἱμερόεντας ἰδ᾽ αἱμύλα κωτίλλοντας,
παντοίης μούσης τ᾽ ἐπιίστορας· ἢ γὰρ ἀοιδοὺς
εὐκλέας, ἢ κιθάρης ὑποφήτορας ἐξετέλεσσεν,
ἠὲ μελῶν μολπῆς εὐρύθμου τεύκτορας ἄνδρας,
ἠὲ πολυτρήτοις λιγέως μέλποντας ἐν αὐλοῖς·
ἄλλους ὀρχηθμοῦ βητάρμονας ἴδριας ἔρδει·
παιδευτὰς δ᾽ ἄλλων τοίων ἔργων ἀνέφηνεν,
ἐξ ὧν ὄλβον ἐυκτέανον κῦδός τ᾽ ἐνὶ δήμοις
ἄρνυνται, χαρίτεσσι κεκασμένοι εὐεπίῃ τε·
πρήξεσι δ᾽ ἐν βιότου πάντες μακάριστοι ἔασιν,
οἷσί τ᾽ ἐπιθύνωσ᾽ ἔργοις, πάντ᾽ ἐκτελέουσιν
ᾗσιν ἐπιφροσύνῃσιν ἀμόχθως, ὥς κ᾽ ἐθέλωσιν. —
ἐν δὲ Λέοντι, δόμῳ πανδερκέος Ἠελίοιο,
Φαίνων μὲν μεγάλους τε καὶ ἐκ πατέρων ἀριδήλων
τεύχει, καί τ᾽ ὄλβῳ βιότου ἅμα κῦδος ὀπάζει,
ἀλλὰ κακῷ θανάτῳ ὀλέσει πάντως γενετῆρα,
ἢ βίῃ ἢ φθορίμων ὑγρῶν πλήθεσσι χαλέψας.
δεικήλῳ δ᾽ ἐν τῷδε Διὸς πολυφεγγέος ἀστὴρ
ὥστ᾽ οἴκῳ σφετέρῳ χαίρει, ἐπεί ἐστι τρίγωνον
αὐτοῦ, ὡς καὶ πρόσθεν ἀείσαμεν, Ἠελίου τε,

καὶ μεγάλους βασιλῆας ἢ ἴσους κοιρανέουσιν,
ἤ που τῶν ἑτάρους τεύχει, λαοῖσιν ἀγητούς·
πάντας δ' ἀφνειοὺς καὶ τιμήεντας ἔθηκεν.
αὐτὰρ Ἄρης ἐπὶ τῷδε πατρώια πάντ' ἐκέδασσεν,
καὶ σίνος ὀφθαλμῶν δῶκεν, βιότου δ' ἄρα πρῆξιν
πολλὴν ἀμφὶ πυρὸς πολιοῦ τ' ἄπο δῶκε σιδήρου,
τοῖς δ' ἔργοις σκληρὰς καὶ ἀπηνέας ὤπασε τέχνας·
αἰεὶ δ' ἔν τε Λέοντι καὶ ἐν Μήνης δόμῳ ὀφθεὶς
ὠκυμόρους τεύχει, τοὺς δ' ἡμιβίους ἐναρίζει.
Ἀφρογενὴς δὲ Λέοντι βεβηκυῖ' οὐ μάλα χαίρει·
δυσγαμίην τεύχει, ποτὲ δ' αὖτ' ἀλόχοιο διείργει.
ἀλλ' Ἑρμῆς πινυτούς τε καὶ ἐν μύθοισι φερίστους
ἔρδει, καὶ βιότῳ προφανεῖς καὶ ἀγακλέας ἄνδρας. —
ἐν δ' οἴκῳ Μήνης Φαίνων μητρὸς βίον αἰεὶ
φθείρει Ἠελίοιο βολὰς καὶ φέγγος ὁρώσης,
αὐτοὺς δ' ἐν νούσοις δολιχαῖς ἄταις τ' ἐδάμασσεν,
ἠὲ μελαγχολίῃσι καὶ ἄλγεσι κρυπτομένοισιν,
ἄχρι κεν ἵζηνται μακάρων ἱεροῖς παρὰ βωμοῖς.
γήθει δ' αὖ Φαέθων ἐν Καρκίνῳ, οὕνεκεν αὐτοῦ
ὑψοῦται, πλεόνων τε γονὴν τέκνων μάλ' ὀπάζει,
καὶ βίον ἐν μεγάροισι καὶ εὐκλέα φῆμιν ἀπάντῃ
δῶκεν, καὶ φιλίην μεγάλων καὶ κέρδεα νωμᾶν.
Ἄρης δ' ἐν Μήνης οἴκοις μεγαθαρσέας ἔρδει
καὶ μάλ' ἀγηνορίῃσι πεποιθότας, οὐκ ἀλέγοντας
οὔτε τι κινδύνων ἰδ' ὁμοκλῆς, οὔτε φόβοιο·
τῷ καὶ σφάλλονται θαμινὰ σφετέροισιν ἐπ' ἔργοις·
ἄλλοι δ' αὖ τέχνης ἐπιίστορες ἐξεγένοντο·
πάντες δ' ἀλγεινοῖσι περιπταίουσι σίνεσσιν,
τῶν πλεόνων δὲ βίῃ θάνατος καὶ μοῖρα τελεῖται.
οὐδὲ μὲν οὐδὲ Κύπρις γήθει Μήνης ἐνὶ οἴκῳ·
μάχλους γὰρ τεύχει καὶ τερπομένους φιλότητι,
ἄλλα τ' ἐπ' ἀλλοίοις κακά τ' αἴσχεα πολλὰ τελοῦντας·

καὶ δ' ἑτέροις τροπικοῖς ζώοις πάντεσσι τάδ' ἔρδει.
χρυσοφαὴς δ' Ἑρμῆς ἐν Καρκίνῳ αἰθροπολεύων
ὀξεῖς ἐν πραπίδεσσι, νοήμονας, ἄλλοτε δ' ἄλλῃ
βουλῇ τερπομένους μήτ' ἔμπεδα μητιόωντας
ῥέξει, καὶ μύθοις ἀγαθοὺς ἔργοις τε φερίστους. —
Ἠέλιος δ' αὐτὸς μὲν ὑπὲρ χαροποῖο Λέοντος
εὐκλέας ἐν βιότῳ καὶ ὑπείροχον εὖχος ἔχοντας
ῥέξει· κέντρου δ' αὖτε τυχὼν βασιλῆας ἔτευξεν,
ἣν ἐσθλῶν κοσμῆται ὑπ' ἄστρων μαρτυρίῃσιν.
ὣς δ' αὔτως καὶ Μήνη ἑὸν δόμον ἀμφιβεβῶσα
πρήξιας ἀνθρώποις ἀγαθὰς καὶ κῦδος ὀπάζει·
ἢν δὲ μεσουρανέῃ νυκτός, βασιλῆας ἔθηκεν.
οἱ δ' ἄρ' ἀμειβόμενοι ζῷ' ἀλλήλων κατὰ κύκλον,
ζώοις δ' ἐμβεβαῶτες ἐπ' ἀλλήλων κατὰ κύκλον,
Μήνῃ μὲν Τιτάν, Μήνη δὲ γέγηθε Λέοντι.
τοῖα μὲν ἀλλήλων οἴκοις ὁρίοις τε παρόντες
τεύχουσ' ἄλλα τε πολλὰ πολυτλήτοις μερόπεσσιν.
Αὐτὰρ ἀληθείην πᾶσαν βροτέου βιότοιο
σύγκρασις διέκριν', ἐπιμαρτυρίαι τε φαεινῶν
ἄστρων ἀλλήλοις χώροις θ', ὑπὲρ ὧν γεγάασιν·
ὅσσα δ' ἀμ' Ἠελίῳ δρῶσιν παρεόντες, ἀείσω.
πάντες μὲν χαίρουσιν ἐπ' ἀντολίῃσιν ἐόντες,
ὡς ἐν ἑοῖσιν ἕκαστος ἀγαλλόμενος βασιλείοις,
καί ῥά τ' ἐπ' ἀντολίης μὲν ἰόντες ἅτ' ἐς νεότητα,
θνητοῖς πάντα τελοῦσιν ἄγαν κρατεροὶ παρεόντες·
ἑσπερίοισι δὲ βαρδύτεροι προΐασι χρόνοισιν
δείελοι αὐγῇσιν σφαλεραῖς ὑποπεπτηῶτες,
ἀδρανέες τε πέλονται ἑὸν σθένος ἀμβλύνοντες.
Φαίνων μὲν δὴ πρῶτα σὺν Ἠελίῳ κατὰ πάντων
ζωιδίων πλήθει ξυνῶν ἀγαθῶν τε κακῶν τε,
κρείσσων μέν τε κατ' ἦμαρ ἐών, βλάπτων δ' ἐνὶ νυκτί·

τεύχει γὰρ πατέρας μὲν ἀγακλειτοὺς καὶ ἐπόλβους,
μητέρα δ' ὠκύμορον θανάτῳ διέκρινε τοκῆος,
415 αὐτῶν δὲ κτῆσιν μινύθει οἶκόν τε πατρῷον,
ἀλλ' οὐχ ὡς πενιχροὺς πάμπαν καὶ ἀχρήμονας εἶναι.
καὶ Φ α έ θ ω ν μετὰ Τιτῆνος πατρώια πάντα
φθείρει, παντοίαις τε βλάβαις ἄταις τ' ἐπέδησεν·
419 πολλάκι καὶ ξείνης γαίης ἔπι πήματ' ἔδωκεν,
422 ἠῷ ο ς μὲν μείον', ἐφ' ἑ σ π ε ρ ί η σ ι δὲ δεινά.
Ἄ ρ η ς δ' Ἠελίῳ συνιὼν πατράσιν μὲν ἀνίας,
γεινομένοις δ' αὐτοῖς θόρυβον καὶ πήματ' ἔδωκεν·
420 τοὺς δ' ἄρα καὶ πάτρης γλυκερῆς θῆκεν μετανάστας·
425 ἡ μ α τ ί ῃ γενέθλῃ δ' ὀλοώτατος ἔπλετο πάντων,
421 ἧσσων δ' ἑ σ π έ ρ ι ο ς γεγαὼς ἀδρανέστερα ῥέζει.
426 Ἀ φ ρ ο γ ε ν ὴ ς δὲ συνοῦσ' Ὑπερίονι γεινομένοισιν
δυσγαμίην παρέχει καὶ δύσκλειαν περὶ λέκτρα·
ἤτοι γὰρ πενιχραῖς ἢ δούλαις ἢ καὶ ἀνάγνοις,
ἢ καὶ πρεσβυτέρῃσι συνέζευξεν μάλ' ἀεικῶς,
430 ἢ ἔτι καὶ πιναροῖσιν ἐφεζομέναις στεγέεσσιν.
Ἑ ρ μ ῆ ς δ' Ἠελίῳ ξυνὴν βαίνων κατ' ἀταρπὸν
ἥμερσεν σοφίης καὶ παιδείης μάλα πάσης·
ἑζομένους δ' ὤπασσε βίους * * *
* * μάλα δ' ἠ ῴ η σ ι ν ἀνάσσων 434
434 ἀνέρας ἀφνειοὺς | ποίησε πόλει παναγήτους 433
* * * * * *
435 πρῆξίν θ' ἥσσονα δῶκ', ἐν πρήξει τ' ἔμμεν ὑπ' ἄλλοις.
Τόσσα μὲν Ἠ ε λ ί ῳ μούνῳ ξ υ ν ῇ παρεόντες
ῥέζουσ', ἶσα δὲ τοῖσι καὶ ἀ ν τ ί ο ν Ἠελίοιο
φαινόμενοι. Μ ή ν η δ' ἃ σὺν αὐτοῖσιν παρεοῦσα
ῥέζει ἐν δισσῇσιν ἀπορροίαις συναφαῖς τε
440 θνητοῖς ἐν μογερῷ βιότῳ, καὶ νῦν ἐνέποιμι.
ἀστέρι μὲν Φ α ί ν ο ν τ ο ς ἐπερχομένη συναφῇσιν,
αὐγαῖς α ὐ ξ ο μ έ ν η κρείσσων, περὶ μητέρα δ' αἰνοὺς

ψυχμοὺς ἠδὲ νόσους παρέχει, σίνεσίν τε προσάπτει,
αὐτοὺς δ' ἀπροκόπους καὶ δειμαλέους περὶ πρῆξιν
ἐνσινέας τε τίθησιν. ἀπορρείουσα δὲ τούτου,
ἢν μὲν Ζηνὶ συνάπτῃ ἢ ἁβροκόμῳ Κυθερείῃ,
ἐσθλὴ καὶ δώτειρα βίου πλούτοιό τε πολλοῦ,
πυροφόρων δ' ἀγρῶν κτῆσιν κρατερῶν τε μελάθρων
δῶκεν, καὶ κῦδος φήμην τ' ἀγαθὴν παρὰ δήμοις,
καὶ φιλίην ἀνδρῶν, ἧσπερ χρῄζουσιν, ἑταίρων·
ἢν δ' Ἑρμῇ, πινυτούς τε καὶ εὔφρονας ἐξετέλεσσεν.
ἢν δὲ Κρόνου προλιποῦσα κενὸν δρόμον ἐξανύῃσιν,
ἢ καὶ Ἄρῃ μετέπειτα συνάπτῃ, πάγχυ κακίστη·
αὐχμηροὺς τεύχει γὰρ ἀναγκαίου βιότοιο,
οἵτ' ἔργοις κενεοῖς καμάτοισί τε μοχθίζοντες
οὔποτε λιμηρὴν πενίην ἐδύνανθ' ὑπαλύξαι,
πρὸς δ' ἔτι καὶ ζωῆς τέκμωρ λυγρὸν ἐξανύοντας,
πολλάκι δ' ὠκυμόρους τε καὶ ἐν νεότητι θανόντας·
οἱ δὲ καὶ εὐτροχάλοις δειρὴν σφίγγουσι βρόχοισιν.
ἢν δ' ἀπὸ μὲν Κυθέρης ἢ καὶ Ζηνὸς πολυφεγγοῦς
ἢ καὶ ἀφ' Ἑρμάωνος ἀπορρέῃ, ἔμπαλι δ' ἑξῆς
ἢ Κρόνῳ ἢ Πυρόεντι συνάπτῃ, δεινὴ ἐτύχθη·
οἴκων γὰρ φθείρει κτῆσιν βιότῳ προϊοῦσιν,
καὶ χαλεπὴν πενίην γήρως ἐπὶ λυγροῦ ὀπάζει.
φαύλη καὶ κερόεσσα συνάπτουσ' Ἄρεϊ Μήνη·
κλῆρον γάρ τε δόμων πατρῴιον ἐξαπόλεσσεν
καὶ μητρῷον ὁμοῦ, ποτὲ δ' αὖ καὶ μητέρας αὐτάς·
γεινομένους δ' αὐτοὺς μεγαληγορίῃσι χανόντας
ῥέξει παντόλμους τε θρασεῖς τ', ἐπὶ τοῖσι βιαίους,
ἀστεμφεῖς, ὠμοὺς καὶ ἀπηνέα ἔργα τελοῦντας,
τοὔνεκα καὶ πταίοντας ἐν ἔργμασιν, ὁππόσ' ἕλωνται·
καὶ δὲ δέσιν θνητοῖσι πόρεν κείνῳ συνιοῦσα.

ἶσα δὲ καὶ συνιούσῃ ἀπορρείουσ᾽ ἀπὸ Θούρου.
εἰ δέ τ᾽ ἀπορρείῃ μὲν ἀπ᾽ Ἄρεος, εἶτα συνάπτῃ
κυδίστῳ Κρονίδῃ, πολυόλβους τῆμος ἔτευξεν
καὶ μακαριστοτάτους, πρήξεις τ᾽ ἀγαθὰς τελέοντας.
ταῦτα δὲ καὶ Κυθέρῃ συναφὴν τεύχουσ᾽ ἀπ᾽ Ἄρηος
ῥέξει· πρὸς δ᾽ Ἑρμῆν, βουλαῖς μύθοισί τ᾽ ἀρίστους,
αἰὲν ὑπὲρ θνητοὺς πυκιναῖς πραπίδεσσι νοοῦντας.
τοῖα δὲ καὶ διάμετρος ἀεὶ πέντ᾽ ἀστράσι τεύχει.
Ἠελίῳ δ᾽ οἴῳ συναφὴν τεύχουσα Σελήνη
ἔκπτωσίν τε τίθησι βίου, καὶ κήδε᾽ ὀπάζει.
ἣν δ᾽ ἀποχαζομένη Ὑπερίονος εἶτα συνάπτῃ
ἐσθλοδόταις, ἀγαθὴ καὶ ὑπείροχα ἔργα φέρουσα
μείζονα καί τ᾽ ἀρίδηλ᾽ ἀγάθ᾽ ἀνθρώποις ἀνέφηνεν.
αἰεὶ δ᾽ ἐν γενέθλῃσι κενοδρομέουσα Σελήνη
πλαζομένους βιότους καὶ ἄλην ξείνης ἐπὶ γαίης
ῥέξει, λιτοτέρους τε βίῳ καὶ πολλὰ μογεῦντας.
χρὴ δ᾽ αἰεὶ γενέθλης πρότερον νεοφεγγέα Μήνην
καὶ δ᾽ ἔτι πληροσέληνον ἐνὶ πραπίδεσσιν ὁρᾶσθαι,
ὅππῃ τάσδε δύω φάσιας παρεοῦσα τέλεσσεν,
ἢ καὶ συντροχάουσ᾽, ἐπεὶ ἐσθλοδόταις μὲν ἀρίστη
πρώτας ἀκτῖνας ξυνουμένη ἠέ τε πλήρεις,
σὺν χαλεποῖσι δ᾽ ἐοῦσα πανεικέλιον μένος ἴσχει
κείνοισιν, λυγροῦ τε βίου πλήρωσε γενέθλην.
ἔξοχα δ᾽ αὖ κακὰ πάντοτ᾽ ἐπὶ θνητοῖσι κυλίνδει
ἐν φάσεσιν πάσῃσιν, ἐν αἷς Πυρόεντι συνάψῃ·
κἢν ἐπὶ συνδέσμου βαίνῃ, μανίῃσι προσάπτει,
* * * * * *
ἢ σπασμοὺς νοῦσόν θ᾽ ἱερὴν καὶ ἀναλθέας ἄτας.

*ἄντα δ' ἄρ' Ἠελίου χαίρει τροχάουσα Σελήνη,*
*πλήρει ἐπεὶ κύκλῳ τότ' ἀγάλλεται αὐγάζουσα,*
*καί τε κλέους ὄλβου τε παραιτίη ἐστὶ βροτοῖσιν.*

---

# ΒΙΒΛΙΟΝ Γ. [Β.]

*Ἐν τῷ γ' βιβλίῳ φησίν·*

*Α. Τί ἀποτελεῖ ἕκαστος τῶν ἑπτὰ πλανητῶν ὡρονομῶν ἐν ἰδίῳ οἴκῳ καὶ ἐν παντὶ τῶν ἄλλων τριῶν κέντρων μόνος εὑρισκόμενος ἐν ἰδίῳ μέντοι οἴκῳ.*

*Β. Τί ἀποτελεῖ, ἡνίκα ἑνὸς ὡρονομοῦντος ἕτερος ἐπὶ τοῦ δυτικοῦ κέντρου μόνος θεωροῖτο, καὶ τὸ τῶν ἀνθρώπων ἀποτέλεσμα ἀπαραλλάκτως εὑρισκόμενον, κἂν ἐπὶ τοῦ μεσουρανήματος καὶ ἀντιμεσουρανήματος εὑρεθῶσιν, ἑαυτοὺς ἀναμετροῦντες εἷς μὲν ἄνω, εἷς δὲ κάτω ὤν.*

*Γ. Τί ἀποτελοῦσιν οἱ συμμαρτυροῦντες ἀλλήλοις, ἢ καὶ συσχηματιζόμενοι, ἢ καὶ ἐπιβλέποντες ἑαυτούς.*

*Δ. Τί ἀποτελεῖται Ἡλίου καὶ Σελήνης ἑαυτοῖς συσχηματιζομένων, τοῦ μὲν ἐν ἀρσενικοῖς προσφόρως τῇ οἰκείᾳ φύσει, τῆς δὲ ἐν ζῴοις θήλεσιν εὑρισκομένης, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἀμφοτέρων ἐν ἄρρεσιν, ἢ καὶ ἀμφοτέρων ἐν θήλεσιν, καὶ τί μὲν ἐπὶ ἀνδρός, τί δὲ ἐπὶ γυναικὸς ταῦτα ἀποτελεῖ.*

*Ε. Περὶ χρόνων ζωῆς, καὶ πῶς μὲν τούτους ἐφοδευτέον δι' ἡμέρας, πῶς δὲ νυκτός· καὶ πότε μὲν ἀπὸ τῶνδε, πότε δὲ ἀφ' ἑτέρων τούτους παραληπτέον.*

---

*Ὅσσα μὲν ἀλλήλων οἴκοις τελέουσι βροτοῖσιν*
*ἀστέρες, Ἠελίῳ τε πυριπλήθοντι συνόντες,*
*ὁππόσα καὶ κεραῆς συναφαῖς τεύχουσι Σελήνης,*
*ἐν προτέραις σελίδεσσι μάλ' ἀτρεκέως κατέλεξα.*
*νῦν δ' ἐπιμαρτυρίας αὐτῶν καὶ σχήματα πάντα,*

ἀλλήλων θ' ὅσα δρῶσιν ὑπ' ἀκτίνεσσιν ἐόντες,
καὶ κέντροις πισύρεσσιν ἐπεμβεβαῶτες, ἀείσω.
Πρῶτα μὲν οὖν Φαίνων ὑπὲρ ὡρονόμοιο βεβηκὼς
ἤτοι πρωτοτόκους καὶ πρωτοτρόφους ἀνέφηνεν,
ἢ καὶ ἀδελφειοὺς προτέρους διόλεσσεν ἅπαντας,
τέκνων δ' αὖτ' ὀλετὴρ πέλεται, βίοτόν τε χαλέπτει
ἀλλοτρίοις οἴκοισιν ἐών· εὖτ' ἂν δ' ἐν ἑοῖσιν
ὡρονομῇ, ζῴοις δ' ἰδίοις ἐπιτέρπεται αἰεί,
Αἰγόκερῳ τε καὶ Ὑδροχόῳ βλοσυρῷ τε Λέοντι
καὶ Χηλαῖς Κριῷ τε, τότ' ἀνέρες ἐξεγένοντο
κύδιστοι, γενεῇ τε γεγηθότες, εὐκλέι πλούτῳ
τιμαῖς καὶ γεράεσσιν ἀγαλλόμενοι βασιλήων.
ψυχρὸν δ' ἐς λίβα νισσόμενος δῦνον περὶ κέντρον
μακροβίους, γήραι λιπαρῷ θαλέθοντας ἔθηκεν,
εὐκτεάνους, μόχθοισιν ἰαινομένους σφετέροισιν.
εἰ δὲ μεσουρανέοι, πατρῴια πάντ' ἐκέδασσεν,
δηθάκι δ' οὐδ' ὅσσον κλήρου παρὰ πατρὸς ἔνειμεν,
πρήξεις δ' ἀπροκόπους καὶ νωχελέας μάλα τεύχει,
ἔργα δὲ καὶ τέχνας χειρῶν ἐξαίνυται ἀνδρῶν
ψυχῶν θ', ἥντινα πρῆξιν ἐνὶ στέρνοισιν ἕλωνται,
δυστεκνίην δ' ὤπασσε, κασιγνήτων τ' ἀπάμερσεν.
ὀρφανίην δ' ὑπόγειος ἐὼν ἀπὸ πατρὸς ἔτευξεν
πάμπαν νηπιάχοις, κλῆρόν τ' ἔρραισεν ἀίστως,
ὃν θνήσκων ἔλιπεν γενέτης, αὐτοὶ δ' ὑπὸ νούσου
κάμνουσ', ἔν τε κρύει πυρετῷ τ' αἴθωνι μογεῦσιν,
ἐν δ' ἀγορῇ κρίσιας καὶ νείκεα δηρὸν ὄπασσεν.
Ζεὺς δ' ὥρην ἐφέπων ἐρικυδέας ἄνδρας ἔθηκεν
ἐν δήμοις, πάτρῃσί τ' ἐνὶ σφετέρῃσιν ἀγητούς,
πρὸς δ' ἔτι καὶ πρήξει μεγαλαυχέας, ἐν βιότῳ τε
ἀφνειούς, βασιλεῦσι φίλους μάλα τιμήεντας.

ταὐτὰ δέ τ' ἐκτελέσει μέσον οὐρανὸν ἀμφιπολεύων·
κοσμεῖ καὶ μίτρῃσι πέπλοισί τε πορφυρέοισιν,
τερπωλῆς τεύχων λαῶν ἡγήτορας ἄνδρας.
δύνων δ' εὐκτεάνους, ὀλοὸς δὲ τέκνοισιν ἐτύχθη·
θάπτει γὰρ κεδνάς τ' ἀλόχους παῖδάς τ' ἀλεγεινούς·
ἐν τροπικοῖς δ' εἴωθε τελεῖν καὶ πάμπαν ἀτέκνους
κηδεστῶν βιότου, καί τ' ἐσθλὰ κακοῖσιν ἔμιξεν·
κτῆσιν μὲν γὰρ ἔδωκε, τέκνων δ' ἐπὶ κήδεσι λυπεῖ.
δεινὸς δ' ἀντιμεσουρανέων πέλετ' ἀνθρώποισιν·
πάντων γάρ τε βροτοὺς ἰδίων κτεάνων ἀπάμερσεν,
εὐόλβους δὲ πάρος κενεοὺς οἴκους ἀπέφηνεν·
ἔξοχα δ' εἴ γε σὺν Ἠελίῳ τόδε κέντρον ὁδεύοι·
— — — — — — — —
ἐσχατίῃ γενέθλῃ βίοτον καὶ κῦδος ὀπάζει.
Ἄρης δ' ἀντολίηθεν ἀνερχόμενος μεγατόλμους,
θαρσαλέους ῥέζει, ποτὲ δ' αὖ πραπίσιν μάλα δεινούς.
δύνων δ' αὖτ' ἄλγεσσι βροτοὺς ἄταις τε προσάπτει,
σύλησέν τ' ὄλβον, βιότου τ' ἀνέφην' ἐπιδευεῖς.
ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ σύνεσίν τε χαλέπτει,
αἰεί τ' ἐν θορύβοισι καὶ ἐν σινέεσσι τίθησιν,
τραύματα δ' αἰὲν ἔδωκεν, ἰδὲ σπασμοῖσι χαλέπτει,
κινδύνους τ' ἐπάγει θαμέας, βιότοιό θ' ἅμ' ἔρδει
αὐχμηρούς, τέκνων δὲ γονῆς ἢ πάμπαν ἄμερσεν,
ἢ ἕνα τηλύγετόν περ ἐνὶ μεγάροισιν ἔδωκεν·
δεινὸς δ' ἀμφὶ γάμους· ἢ γὰρ θαμὰ λέκτρα διείργει,
ἢ λώβην τιν' ἀεικελίην ἀκάχησε γυναικός.
ὕψι δ' ἐπεμβεβαὼς μέσον οὐρανὸν ἄλλοτε μέν τε
τέχνας δῶκε βροτοῖσι βαναύσους ἔργα βίοιο·
ὁππότε δ' εὐεργῶν ἐπιμαρτυρίῃσι σὺν ἄστρων

δέρκηθ', ἡγεμόνας θῆκε φρουρούς τε τυράννων,
εὔθηκτον φορέοντας ἑὸν περὶ σῶμα σίδηρον,
ἐν πόλεσιν δήμοισί τ' ἀριπρεπέας πολιούχους·
ἐξαπίνης δ' ἔσφηλεν ἐς οὐρανὸν αἰπὺν ἀείρας
δειλαίους φῶτας ποτὶ Τάρταρον ἠερόεντα·
ἤτοι γὰρ φυγάδας φιλίης ἐξήλασε πάτρης,
ἢ ζωῆς ἀπάμερσε φίλης κρυόεντι σιδήρῳ,
ἢ πόμα φαρμακόεν πιέειν κατένευσεν ἐν οἴκοις.
ὡρονομοῦσα δ' ἀεὶ Κυθέρη καλοὺς μὲν ἰδέσθαι
ῥέξει, καὶ χαρίεντας ἰδ' ἱμερόεντας ἔπεσσιν,
ἀφνειοὺς βιότῳ καὶ ἀγακλέας ᾗ ἐνὶ πάτρῃ,
κυδαίνει δὲ τεκοῦσαν ἄγαν τ' ἀρίδηλον ἔθηκεν.
καὶ δὲ μεσουρανέουσα τάδ' ἔρδει, πρὸς δὲ καὶ ἔργοις
τρισμάκαρας τεύχει, τοῖς δ' αὖτ' ἀλόχων γάμον ἐσθλῶν
ὤπασεν, ἐν δὲ δόμοις κλεινὸν βίον ἠέξησεν·
καὶ δὲ γυναικείοισιν ἐπ' ἔργοις δηθάκις ἄνδρας
ἵδρυσ', ᾧ καὶ χρήματ' ἰδὲ κτῆσιν πόρεν ὄλβου.
ἀστασίας δ' ὑπόγειος ἐὼν λεχέων ἐτέλεσσεν,
ἠδὲ γάμων ταραχὰς καὶ χηροσύνας, ποτὲ μέν τε
ἐν ξείνῃ ποσίων, ποτὲ δ' αὖ μεγάροισιν ἐόντων.
καὶ δ' ἔτι καὶ δύνουσα κακὴ περὶ λέκτρα γυναικῶν·
ἢ γὰρ ἀποζεύγνυσι συνεύνων, ἢ πολυκοίνους
δῶκ' ἀλόχους, ὧν δὴ θάμ' ἐπασχάλλουσιν ἐφ' ὕβρει·
καὶ δ' αὐτοὺς φήμῃσι κακαῖς νεότητος ἐν ὥραις
ἀμφέβαλεν, μάχλους τ' ἐς ἀεικέα θήκατο κύπριν,
ἀλλοτρίων τε μέλαθρον ὀπιπεύουσι γυναικῶν.
Ἑρμῆς δ' ἀντέλλων μὲν ἐφ' ὥρης εὐκλέας ἄνδρας
καὶ πολλῆς σοφίης ἐπιίστορας ἐξετέλεσσεν·

πολλάκι καὶ προδαῆναι ἐνὶ πραπίδεσσι βροτοῖσιν
πείρατα μελλόντων δωρήσατο, καί θ' ἑτέροισιν
θεσπίζειν φήμησιν ὀνείρασί θ', ἅ σφισιν αὐτοὶ
ὀρφναίην κατὰ νύκτα βαθὺ κνώσσοντες ἴδωνται.
ἐν δὲ μεσουρανίῳ θνητοῖς ἔργ' ὤπασε κέντρῳ·
ἤτοι γὰρ σοφίης βίοτον καλάμοιό τε γραπτῶν
πρῆξιν ἔδωκ', ἢ παισὶν ὑφηγητῆρας ἔφηνεν
παιδείης, τοὺς δ' αὖτε τραπέζης ἀργυραμοιβοῦ
εἷσεν ὕπερ, πολέσιν δὲ τέχνας ἡρμόσσατο χειρός.
ἢν δ' ὑπόγειος ἔῃ, πινυτὸν νόον ἐξετέλεσσεν,
θῆκεν καὶ σοφίης δεδαηκότας, ἐν βιότῳ δὲ
αἰὲν ὑπ' ἀλλήκτησι μεληδόσι μητιόωντας.
δύνων δ' ἐν μύθοισι καὶ ἐν πραπίδεσσιν ἀρίστους,
καὶ πλούτῳ γηθεῦντας ἀεὶ φήμαις τ' ἀγαθῇσιν.
εὖτ' ἂν δ' ὠκεανοῖο λελουμένος ἀντέλλησιν
Τιτάν, ἐν δ' ὥρῃ κείνῃ βροτὸς ἐς φάος ἔλθῃ,
πατρὸς ἀριγνώτου γεγαὼς τότε φύσεται ἀνήρ,
τιμήεις δέ τ' ἄγαν καὶ ὑπείροχός ἐστ' ἐνὶ πάτρῃ,
πλούτῳ καὶ κτεάτεσσιν ὑπέρτατος ἐν μερόπεσσιν·
πολλάκι καὶ βασιλῆες ἐν ὥρῃ τῇδ' ἐγένοντο.
δύνων δ' Ἠέλιος λαμπροὺς βιότῳ καὶ ἐπόλβους
τεύχει, καὶ πραπίδων μάλ' ἀριφραδέων ἐπινοίῃ
* * * * ἐνὶ πάτρῃ.
Τιτὰν δ' ἐν γενέθλῃ μέσον οὐρανὸν ἀμφιπολεύων,
ἢν μὲν ὑπ' ἀκτίνεσσ' ἀγαθῶν καὶ μαρτυρίῃσιν
κοσμῆται, μεγάλους τε καὶ εὐκλέα ἔργα τελοῦντας,
φαύλῃσιν δ' αὐγαῖς ὀλοῶν βεβολημένος ἄστρων
ἀκτεάνους τεύχει, λυγραῖς πενίῃσι μογεῦντας.
ἢν δ' ὑπόγειον ἔχῃ κέντρον, μινύθει πατρὸς ὄλβον.
καὶ δὲ Σεληναίη ὑπὲρ ὡρονόμοιο βεβῶσα
μητέρα κυδαίνει. δύνουσα δὲ τηλόθι πάτρης

ἀλλοτρίην κατὰ γαῖαν ἀλωομένους θαμὰ πλάζει.
ἐν δὲ μεσουρανίῳ νυκτὸς μὲν ἀρίστη ἐτύχθη,
ἤματι δ' αὖθ' ἥσσων· εἰ δ' ἐσθλοδόται μιν ὁρῷεν,
εὐκλείην πρήξεις τ' ἀγαθὰς μερόπων ἐτέλεσσεν.
ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ ἀγαθοὺς μὲν ὁρῶσα
ἀστέρας ἐσθλὴ ἔφυ δώτειρά τε κευθομένοιο
πλούτου, ἀτὰρ χαλεποὺς ἐπιμάρτυρας εὖτ' ἂν ἴδῃσιν,
κρυπταδίοισι σίνεσσι καὶ ἄλγεσι φῶτα χαλέπτει·
πολλάκι καὶ πτώσεις ὀρόφων κατὰ κρατὸς ἐφῆκεν.
μοῦνοι μὲν κέντροισι τάδ' ἐμβεβαῶτες ἔφηναν.

Ἀλλήλους δ' ὁρόωντες ὑπὲρ κέντρων κατέναντα

* * * * * *

ὡρονόμου μὲν ὕπερ Φαίνων, Φαέθων δέ τε δύνων
ὁπλοτέροισι κασιγνήτοις θάνατον τελέουσιν,
πρὸς δ' ἔτι γεινομένοισι χρόνους νεότητος ἀνιγρούς,
ὑστάτιον δὲ χρόνον λιπαρὸν καὶ γῆρας ἐν ὄλβῳ.
ἔμπαλι δ' ἐν τούτοις κατεναντίον ὡρονομοῦντος
Ζηνὸς καὶ πολιοῖο Κρόνου δύνοντος ἔναντα,
πρεσβυτέροις μὲν πότμος ἀδελφειοῖσι τελεῖται,
εὐδαίμων δὲ φανεὶς πρόσθεν βροτὸς ὕστατα κάμνει.

εὖτ' ἂν δ' ἀντέλλῃ Φαίνων, Πυρόεις δέ τε δύνῃ,
πευθαλέοισιν ἑὴν ἄλοχον τύμβοισι καλύψας
χῆρον δηναιὸν κλαύσει κατὰ δώματα λέκτρον·
τήνδε καὶ ἐν τροπικοῖς ζῴοις θαμὰ τλήσετ' ἀνίην.

εἰ δ' ἄρ' ἀνερχομένου Ἄρεος Φαίνων πάλι δύνῃ,
δυστυχίην μάλα γεινομένοις φαίνουσι κατ' οἶκον.
  δυνούσης Παφίης δ' ὁπότ' ἂν Κρόνος ὡρονομήσῃ,
οὐ μόνον αἰνόγαμοι καὶ δυσκλέες εἵνεχ' ὁμεύνων,
ἀλλ' ἔτι καὶ πατέρες παίδων ἐς πάμπαν ἄπαιδες
γίνονται· στείρας γὰρ ἢ ὠμοτόκους παρακοίτις
ἐς θαλάμους εἴρυσσαν, ἰδ' αἴσχεα πολλὰ τελούσας·
εἰ δὲ καὶ ἐν τροπικοῖσιν ἔοι ζώοις κατέναντα,
οὐχὶ μόνον κιναραῖς ἀλόχοις γάμον ἐζεύξαντο,
ἀλλ' αὐτοὶ πρήξεις κυθέρης ἀγάπησαν ἀθέσμους.
εἴκελα δ' ἀντέλλουσα πάλιν τούτοις Κυθέρεια,
πρὸς δύσιν ἐρχομένοιο Κρόνου χαλεποῦ μάλ' ἐόντος,
μάχλοις πρεσβυτέραις ἢ καὶ δούλῃσι συνάπτει.
  εἰ δ' Ἑρμῆς δύνῃσι Κρόνου βεβαῶτος ἐφ' ὥρῃ,
πένθεα γεινομένοισι τελεῖ δειλοῖς ἐπὶ τέκνοις.
ἔμπαλι δ' εἰ Στίλβων μὲν ἀνέρχοιτ', αὐτὰρ ὁ δύνοι,
νείκεα καὶ κρίσιας γραπτῶν χάριν ἠὲ μάλ' αἰνῶν
ἔργων ἴσχουσιν, θωὴν δ' ἐπὶ τοῖσιν ἔτλησαν.
  Ζηνὸς δ' ὡρονομοῦντος, ἐπὴν Ἄρης πάλι δύνῃ,
οὐχ ὁμαλὸν βίοτον δῶκαν· ποτὲ μὲν γὰρ ἄειραν
ὑψοῦ, κυδαλίμους τε καὶ ἀφνειοὺς μάλ' ἔθηκαν,
ἄλλοτε δ' ἔσφηλαν κτεάνων τ' ἄπο πάμπαν ἄμερσαν,
καὶ καμάτους βιότοιο χάριν μόχθους τ' ἐπάγουσιν.
ταῦτα δέ, κὴν δύνῃσι, πάλιν Ζεὺς ὡρονομοῦντος
Ἄρεος ἐξετέλεσσεν ἐπὶ πλέον, οὕνεκα τῆμος

*δάκρυα καὶ στοναχὰς φθιμένοις ὤπασσ' ἐπὶ τέκνοις,*
*καὶ δ' ἀλόχοις ἥρμοσσεν ἀεικελίαις, τέκν' ἀπ' ἄλλων*
*ἤδη θρεψαμέναις, ἃ στέρξουσ' αὐτοὶ ἀνάγκῃ·*
*πάντας δ' αὖτε κασιγνήτους φιλίης ἀπὸ πάτρης*
*ἄλλον ἐπ' ἀλλοίης τηλοῦ γαίης ἐκέδασσεν·*
*μόχθων δ' ἐς γῆρας προτέρων ἀνάπαυσιν ἔδωκεν.*
*ἐκ περάτης δ' ἀνιὼν Φαέθων κατέναντα Κυθήρης*
*ἐς δύσιν ἐρχομένης πολυόλβους τρισμάκαράς τε*
*ῥέζει, καὶ μεγάλων ἀλόχων ἥρμοσσε γάμοισιν,*
*ῥηιδίαις δ' ἐς κύπριν ἰδὲ ξυναῖς φιλότησιν·*
*κτῆσιν δ' αὖτ' ἰδίην τοκέων ἄπ' ἄμετρον ἔδωκεν.*
*μαρμαίρουσα δ' ἀπ' ἀντολίης ἐρατὴ Κυθέρεια*
*δυόμενόν τ' ἐσορῶσα πυρίγληνον Φαέθοντα*
*ὄλβον κυδήεντα καὶ εὐκλέα φῆμιν ὄπασσεν,*
*καὶ γάμου ἱμερόεντος ἐυφροσύνῃσιν ἰαίνει·*
*τῆμος γὰρ σεμναί τ' ἄλοχοι τίουσί τ' ἀκοίτας.*
*ἐξ ὥρης δ' ἐσορῶν Ζεὺς Ἑρμείην κατέναντα*
*κοσμεῖ μὲν πλούτῳ μύθοισί τε καὶ σοφίῃσιν,*
*ἀσχολίην δ' ὤπασσ' ἀφένους βασιληίου ἀμφίς,*
* * * * * *
*ἢ πολίων κλήρους καὶ κτήσιας ἀμφιέποντας.*
*ὣς δ' αὔτως Ἑρμῆς ὥρης ὕπερ ὁλκὸν ἀμείβων*
*τεύχει ἐπ' ὠκεανοῖο δύσιν Φαέθοντος ἰόντος*
*εὐόλβους ἔργοις τε καὶ εὐκτεάνοισι τραπέζαις*
*[παίδων θ' ἡγητῆρας ἢ αὐτῶν θῆκεν ἀνάκτων].*
*ὥρῃ δ' ἐμβεβαὼς Πυρόεις δυτικῷ παρεούσης*
*Ἀφρογενοῦς κέντρῳ φθορέας λέκτρων ἀνέφηνεν*
*ἀλλοτρίων, ἀλόχους δέ τ' ὀπιπεύσαντες ἄγονται*
*ἐξ εὐνῆς ἑτέρων· αἱ δ' αὐτοὺς οὔτι τίουσιν,*
*ἀλλὰ πόθοιο κορεσσάμεναι μάχλου τε κυθήρης*

αὖθις ἐπ᾽ ἄλλα μέλαθρα καὶ ἄλλους ἦλθον ὁμεύνους,
πολλάκι δ᾽ αὐτοχερὶ σφετέρων ποσίων ἐδάμησαν·
ζώοις δ᾽ ἐν τροπικοῖσι χερείονα τῶνδε τελοῦσιν.
ταῦτα δὲ καὶ Παφίη τεύχει πάλιν ὡρονομοῦσα,
εὖτ᾽ ἂν Ἄρης δύνῃ, πλέοσιν δ᾽ ἔτι καὶ συνοχῇσιν
εἱρκτῇσίν τ᾽ ἐπέδησε γυναικείης ἕνεκ᾽ ἄτης·
ὅσσα δ᾽ ἐπεκτήσαντο νέοι, τάδ᾽ ὄλεσσαν ἅπαντα
ἐς γῆρας, πενίῃ δὲ κακῇ ἄλληκτα μογεῦσιν.
εὖτ᾽ ἂν δ᾽ Ἑρμείης μὲν ἐπείγητ᾽ ἐς δύσιν ἐλθεῖν,
ἐν δ᾽ ὥρῃ Θοῦρος φλογὶ μαρμαίρῃ κατέναντα,
ὀξεῖς ἔν τε νόῳ καὶ μήδεσι θῆκεν ἀγητούς,
ἐσθλοὺς δ᾽ ἐν σοφίῃσιν, ἰδὲ δρηστῆρας ἐν ἔργοις.
Ἑρμοῦ δ᾽ ἀντέλλοντος ἐπὴν Ἄρης πάλι δύνῃ,
δεινὸν σχῆμα τέτυκται, ἐπεὶ βιότῳ μὲν ἀνίας,
ἐν δ᾽ ἀγορῇ κρίσιας, θωήν θ᾽ ἅμα νείκεσι πολλοῖς
ἴσχουσι γραπτῶν ἕνεκεν· Μήνην δ᾽ ἐσορῶντες
καὶ δὲ καὶ Ἠέλιον μερόπων τεύχουσι φονῆας,
αἰεὶ δ᾽ ἔκπτωσιν βιότου τεύχουσι πρὸς οἴκους.

— — — — — —

ταῦτα δὲ καὶ δοιοῖς ἑτέροις τεύχουσιν ἐόντες
ἀστέρες ἐν κέντροισιν, ὅσ᾽ αὐτίκα δὴ κατέλεξα.
ὅσσα δὲ καὶ βασιλῆες ἀγακλειτοὶ τελέουσιν
Ἠέλιος Μήνῃ τε, τάδ᾽ αὐτίκα νῦν καταλέξω.
ἢν ἀνίῃ κεράτης Τιτάν, δύνῃ δὲ Σελήνη,
ἢ ὃ μὲν ὕψι μέσον τέμνῃ πόλον, ἣ δ᾽ ὑπόγειον
κέντρον ἔχῃ, μάλα φῶτας ἀριγνώτους καὶ ἀγητοὺς
ῥέξουσιν, ποτὲ δ᾽ αὖ μεγάλους βασιλῆας ἔτευξαν,
ἠὲ πάτρης προὔχοντας, ἢ ἐν δήμοισιν ἀρίστους.
ὧς δὲ καὶ ἢν τάδε κέντρα μεταλλάξαντες ἔχωσιν.
Ἤδη καὶ σύγκρασιν ἀείσω μαρτυρίας τε,

ἠδ' ὅσ' ἐπαντέλλοντες ἢ ἀλλήλους ὁρόωντες
ἀστέρες ἔρδουσιν· τὰ γὰρ ἀτρεκίην μάλα φαίνει.
πάντα μὲν οὖν οὐκ ἄν τις ἑῷ φράσσαιτ' ἐνὶ θυμῷ,
οὐδ' ἐνέποι· τὰ γὰρ ἄσπετ' ἀπείριτά τ' ἐστὶ κατ' αἴθρην
σχήματ' ἀμειβόντων ἄστρων πολύπλαγκτα κέλευθα·
ὅσσα δ' ἐπιλέξωσι θεοί, τάδ' ἐγὼ σάφα λέξω.
Ζηνὶ συνὼν Κρόνος αἰπὺς ἢ εἰσορόων τετράγωνος,
ἤ ὅγε καὶ διάμετρος ἀπὸ πλευρῆς τε τριγώνου,
δωρεῖται φιλίην βασιλήιον ἢ καὶ ἄναξιν
εἰκελίων ἀνδρῶν, αὐτοὺς δ' ἄρα φῆμιν ἀρίστην
ἴσχοντας τεύχει, κοσμεῖ δ' ὑπ' ἀπείρονι πλούτῳ
καὶ μελάθροις ληίοις τε βαθυκλήροισί τ' ἀρούραις,
λείαις παντοίαις τ', ἀγέλαις δμωσίν τ' ἀναρίθμοις·
δῶκε καὶ εἰναλίην κτῆσιν νηῶν πολυφόρτων,
καὶ πρήξεις ἀγαθάς, καὶ δ' αὖ μέγα κῦδος ἐπ' ἔργοις,
καὶ λιπαρὸν γῆρας μέχρις ὑστατίου θανάτοιο.
ἀλλ' Ἄρης τετράγωνος ἢ ἀντιπέρηθεν ἀθρήσας
ψυχρότατον Κρόνον ὄντα κακὸς κακοῦ ἀντίον ἑστὼς
ἢ καὶ ὁμοῦ βαίνων, δεινάς τ' ἄτας ἐπιβάλλει,
καὶ πενίην δυσάλυκτον ἄγει δειλοῖσι βροτοῖσιν,
ἔξοχα δ' εἴ γε σὺν Ἡλίῳ βεβαῶτες ὁρῷντο·
τῆμος γὰρ πτωχοὶ πανδήμιοι ἰνδάλλονται
ὀθνείῃσι θύρῃσιν ἐφεστηῶτες ἀνάγκῃ,
ἢ καὶ ἐφημερίης δαίτης χάριν αἰνὰ μογεῦντες,
ἄλληκτον καμάτοισιν ὀιζυροῖς φθινύθοντες.
εἰ μὴ δ' εὐεργῶν τις ὁρῴη σχήματα ταῦτα,
καὶ πότμῳ στυγερῷ ζωῆς ἐπὶ τέρμαθ' ἵκοντο·
ἤτοι ναυφθορίῃ γάρ, ἢ ἐν πελάγεσσιν ἐόντες
ἢ ποταμῷ στυγερῷ, ζωῆς χάριν αἰνὰ μογεῦντες

κύμασιν ἐρραίσθησαν, ἢ ἐν πολέμῳ κρυόεντι
*   *   *   *   *   *
ἢ ὑπὸ ληιστῆρσιν ἢ ἐν χάρμῃ δορίληπτοι
πέρνανται σφιγχθέντες ἀεικελίοις ὑπὸ δεσμοῖς,
δηθάκι καὶ θήρεσσιν ἕλωρ καὶ κύρμα γένοντο,
ἢ πότ' ἐν ἠερίοισιν ἄφνω κρημνοῖσιν ὄλοντο,
ἢ βρόχον αἰπὺν ἀνῆψαν, ἢ ἐν πτώσει θαλάμοιο
ὀστέα συνθλιφθέντες ἀίστως θυμὸν ὄλεσσαν.
ὣς δὲ καὶ ἡμερίοις τὰ τελείεται, ἢν ὀλοῇσιν
καὶ Μήνην σφετέρῃσιν ὑπ' ἀκτίνεσσι βάλωσιν.
εἰ δ' ἄρα τοι γενέθλῃ μὲν ἀρήγοιεν κλυτοὶ ἄλλοι
ἀστέρες, οἱ δ' ἄρα τοι μὴ φαίνοντες φορέοιντο,
νείκεα καὶ κρίσιας θαμινὰς ἐπάγουσι βροτοῖσιν·
ἢν δ' ἀγαθὸς κέντροιο κρατῇ, ὀλοὸς δ' ἀπόκεντρος,
σχήματι συμφώνῳ καμάτων ἀπέλυσαν ἀπ' αἰνῶν.
πρηϋτέρας δὲ τρίγωνοι ἀεὶ τελέουσιν ἀνίας.
Ἠέλιον δ' ἐπιδερκόμενος τοίῃσιν ὑπ' αὐγαῖς
ἢ καὶ νυκτιπόλον Φαίνων λιποφεγγέα Μήνην
ἐκ τοκέων δμώων αὐτοὺς ἔρδει θεράποντας·
πολλάκι δ' ὀφθαλμοῖσι σίνος λιποφεγγὲς ἔτευξεν,
καὶ γονέας νούσοις ψυχμῷ καὶ βηχὶ χαλέπτει.
Ἀφρογενεῖ δὲ συνὼν Φαίνων ἠδ' ἀντιπέρηθεν
πρεσβυτέρας στείρας τ' ἀλόχους καὶ ἀεικέας αἰνῶς
δῶκεν. καὶ τετράγωνος ἀεὶ χαλεπὸς κυθερείῃ·
δεινοὺς γάρ τε γάμους καὶ ἐυφροσύνης ἄτερ ἔρδει.
λυγρὰ δ' ἄρ' ἧσσον ἔδωκε τριγώνοις φέγγεσι λεύσσων.
σχήμασι δ' οὔποτε τοῖσι δεδορκὼς Ἀφρογένειαν
παρθενικὴν ἐπέτρεψεν ἄγειν ἐς δώματα νύμφην·
δηθάκι δ' ἀσπέρμους αὐτοὺς καὶ ἄπαιδας ἔτευξεν.

ἢν δ' ἄρα καὶ Πυρόεντ' ἐπιμάρτυρα τοῖσδ' ἐσαθρήσῃ,
ἢ ὅγε καὶ Μήνην, εὐνούχους πάμπαν ἔθηκεν.
Ἑρμείῃ δὲ συνὼν Φαίνων γλώσσης βλάβος ἔρδει,
καὶ λαλιῆς ἐπέδησ', ἥν περ μὴ φοίνιος Ἄρης
σύμφωνος κατιδὼν λύσῃ κακοεργέα λώβην.
καὶ δὲ δίκας τετράγωνος ἐὼν κρίσιάς τ' ἐπιπέμπει,
καὶ πιναρὴν λασίην τε βροτοῖς ἐπεθρέψατο χαίτην.
τὼς δ' ἄρα καὶ διάμετροι. ἀτὰρ χαίρουσι τρίγωνοι,
σχήμασι δ' ἐν τούτοισιν ἀεὶ φιλομάντιας ἄνδρας
καὶ βίβλων κρυφίμων μάλ' ἐφιεμένους τελέουσιν.
Ζεὺς δ' Ἄρει ξυνὴν μὲν ἰὼν ὁδὸν ἠὲ τρίγωνον
ἡγεμόνας ῥέζει στρατιῆς νηῶν τε καὶ ἵππων
καὶ πεζῶν, ποτὲ δ' αὖ μεγάλους βασιλῆας ἔτευξεν,
ἠὲ πάτρης προὔχοντας, ἢ ἐν δήμοισιν ἀρίστους.
εἰ δ' ἄρα μὴ πάμπαν μοίρης ἀγαθῆς τετύχοιεν,
ἀλλ' ἀστὴρ ἑτέρωθι νεμεσσήσῃ κακοεργός,
ἢ καὶ ἀποκλίνωσιν ὑπ' αὐγὰς Ἠελίοιο,
σὺν τοίοις ἄνδρεσσιν ἀεὶ στρωφῶνται, ὑπ' αὐτοῖς
στεργόμενοι φιλίῃσιν, ὑπείροχον εὖχος ἔχοντες·
πάντες δ' εὐκτέανοι καὶ ἀπείριτον ὄλβον ἔχουσιν.
μείονα δ' ἐσθλὰ διδοῦσιν, ἐπὴν τετράγωνοι ἔωσιν.
πάγχυ δ' ἀνωμαλίην βιότου διάμετροι ἐόντες
ἀνθρώποις τεύχουσ', ὁτὲ μὲν πενίην, ὁτὲ δ' ὄλβον
πυκνὸν ἀμειβόμενοι, αἰεί γε μὲν ἄρκι' ἔνειμαν.
σὺν Διὶ δ' Ἀφρογένεια βίῳ χαίροντας ἀμόχθως
εὐπρήκτους τε τίθησιν, ἐυφροσύναις τε γάμοιο
τερπομένους· τοὺς γάρ τε φίλαι τίουσιν ὅμευνοι,
ἐκ δ' ἄρα λιτοτέρων πολυόλβους αὐταὶ ἔθηκαν·

*καὶ δὲ καὶ εὐτεκνίῃ σφιν ἐνὶ μεγάροισιν ὀπηδεῖ.*
*καὶ δ' ἄλλαις πρὸς Ζῆν' ἐπιμαρτυρίῃσι τάδ' ἔρδει.*
*ἐσθλὸς καὶ Στίλβοντι συνὼν μεγάλου Διὸς ἀστήρ,*
*σχήμασί τ' ἐν πάντεσσιν ὁρῶν θοὸν Ἑρμάωνα·*
*τρισμάκαρας τεύχει γάρ, ἀεὶ βασιλήιον ὄλβον*
*νωμῶντας, χρυσόν τ' ἐθνέων ἄπο δασμολογοῦντας,*
*κεκλομένους τ' ἐπὶ τοῖσιν, ἀκουομένους θ' ὑπὸ πολλῶν·*
*οἵ δέ τ' ἀριγνώτων ἀνδρῶν πλοῦτον διέπουσιν,*
*οἱ δ' ἄρ' ἀπ' ἐμπορίης ἐσθλῆς βίοτον συνάγειραν,*
*κέρδεα δὲ σφετέρων καμάτων ἅλις ἐκτήσαντο,*
*ἄλλοι δ' αὖ κόσμων ἐπιίστορες ἢ διὰ γραπτῶν*
*ἰδμοσύνης ἐρίτιμοι ἀγακληεῖς τ' ἐγένοντο,*
*οἱ δ' ἄρα καὶ παίδων ἡγήτορες, ἐν σοφίῃ τε*
*πολλὸν ἀριπρεπέες μύθων ὑποφήτορες ἐσθλῶν.*
*εἰ δ' ἄρα τούσδε Κρόνος μαλεραῖς ἀκτῖσιν ἀθρήσῃ,*
*πρήξεσιν ἐν τοίῃσιν ὑποδρήσσοντας ἔθηκεν.*
*εἰ δ' Ἄρης συνίῃσιν ὁμοῦ καλῇ Κυθερείῃ,*
*ὑβρισταὶ λεχέων τε καὶ ἀλλοτρίων ὑμεναίων*
*γίνονται, ἀναφανδὰ μάλ' ἐκτόλμως τάδε δρῶντες·*
*καὶ δὲ σύνευνοι τῶνδε πολυκλινέες τελέθουσιν,*
*ῥηιδίως φιλότηθ' ἑτέροις κυθέρης ὀρέγουσαι.*
*εἴκελα καὶ δ' ἄλλαις ἐπιμαρτυρίαις τελέουσιν.*
*εἰ δὲ καὶ Ἑρμείης ἐρατὸς σὺν τοῖσδε φανείη,*
*τῶν ἕνεκεν κρίσιές τε μάχαι τ' ἀγορῇσι πέλονται·*
*οἱ δὲ καὶ αἴσχρ' ἔτλησαν ἐν ἀλλοτρίοισι δόμοισιν*
*ληφθέντες, φήμη δὲ κακὴ περιδέδρομεν αἰεί.*
*ἢν δ' Ἑρμῇ τετράγωνος ἢ ἀντίος ἢ κατὰ χώρην*
*τὴν αὐτὴν Θοῦρος τροχάῃ, μάλα λυγρὸς ἐτύχθη·*
*νείκεα γὰρ γραπτῶν ἕνεκεν κρίσιάς τ' ἐπιπέμπει,*

καὶ δόμον ἐξαπίνης κενεὸν βιότου ἀνέφηνεν·
δηθάκι καὶ δεσμοὺς ἐπάγουσ' ὀλοοῖσιν ἐπ' ἔργοις.
ἀλλὰ τρίγωνοι ἐόντες ἐχέφρονας ἐκτελέουσιν
καὶ πυκιναῖς πραπίδεσσιν ἐναίσιμα μητιόωντας.
φαιδρὸς δ' Ἑρμείης καὶ πασιφαὴς Ἀφροδίτη
ξυνὴν ἐξανύοντες ὁδὸν μάλ' ἄριστοι ἔασιν·
ὄλβον μὲν πρώτιστα δόσαν, μετέπειτα δὲ μύθων
πειθὼ καὶ φιλίην ἀγαθὴν τιμήν τ' ἐνὶ δήμοις·
πρὸς δ' ἔτι παντοίης μούσης ἐπιίστορας ἄνδρας
τεύχουσιν, μολπῇσί τ' ἀγαλλομένους καὶ ἀοιδῇ.
* * * * * *
εἰ δέ κε λεύσσωσιν Μήνην καὶ Ζῆνα φέριστον,
καὶ στέφεσιν κύδηναν, ἀγακληεῖς τ' ἐνὶ λαοῖς
ἐξαίτοις γεράεσσιν ἀέθλων εἵνεκ' ἔθηκαν.
εἰ δ' ἔτι καὶ Πυρόεις τούτοις ἐπιμάρτυρος εἴη,
γίνονται σταδίοισι παλαισμοσύνῃσί τ' ἄριστοι,
πυγμαχίῃσί τ' ἀγασθενέες πληγῇσί τε χειρῶν,
καὶ θαμιναῖς νίκῃσιν ἀγάλλονται κατ' ἀγῶνας.
καλὴ καὶ Μήνη καὶ πανδερκὴς Ὑπερίων
ἀλλήλους ὁρόωντες ἐναντίοι ἢ τετράγωνοι,
* * * * * *
ἔξοχα δ' αὖτε τρίγωνοι, ἐπεὶ τόδε πάμπαν ἄριστον
σχῆμα πέλει φαύλοις τε καὶ ἐσθλοῖς ἀστράσι πᾶσιν.
εἰ δὲ καί, οἷς ἐπέοικεν, ἐνὶ ζῴοισι φανείη
ἄμφω φάεα καλά, τὸ δ' αὖ πολὺ φέρτατόν ἐστιν.
πάντων μὲν γὰρ ἄριστον ἐνὶ ζῴοισι παρεῖναι
ἄρσεσι μὲν Τιτῆν', ἐν θηλυτέροισι δὲ Μήνην·
προσφιλέες γὰρ ἀεὶ καὶ μείλιχοι ἐξεγένοντο,
ἔργα τε ῥηιδίως καὶ πρήξιας ἐξετέλεσσαν.
εἰ δέ τ' ἐν ἀρσενικοῖς ἄμφω κλυτὰ φέγγε' ὁρῷτο,

ὠμιούς, ἀστεμφεῖς, ἠδ' ἀτρέπτους ἐσίδοιο
γεινομένους, οὐδ' ὅσσον ὑπείκοντας νόῳ ἄλλοις.
ὅσσοι δ' αὖ Μήνην μὲν ἐν ἄρσενι, θηλυτέρῳ δὲ
ἴσχουσ' Ἠέλιον, τοῖσιν δ' ἄρα πρήξιες ἔργων
ἄλλως ἐξανύονται ἢ ὡς φρεσὶν ἧσι μενοίνων·
αὐτοὶ δ' ἀπρόκοποι, πάμπαν τ' ἐπαρίστεροι ἄνδρες.
θήλεσι δ' ἐν ζώοις ἄμφω κλυτὰ φῶτα φανέντα
δειλούς, πανταρβεῖς, ἑτέροις ὑποπεπτηῶτας
*  *  *  *  *  *
θηλύτεροι πραπίσιν, βιότῳ δ' ἔνι πάμπαν ἄπρηκτοι,
ἀλλοτρίης γαίης καὶ ἀλητύος ἱμείροντες.
ἀλλὰ τόδ' ἔμπαλιν ἐσθλὸν ἔφυ κεδνῇσι γυναιξίν·
πρηεῖαι γάρ τ' εἰσὶ νόῳ, ποσίεσσί θ' ἑοῖσιν
εἴκουσιν μάλα πειθόμεναι, στυγέουσί τε νεῖκος.
εἰ δ' ἐπὶ θηλυτέρῃ γενέθλῃ δύο φῶτα φανείη
ἄρσεσιν ἐν ζώοις, ἣ δ' αὖ μάλ' ἀγήνορι θυμῷ
δεινή τε κρυερή τε πέλει πραπίδεσσί τ' ἄκαμπτος.
ὁππότε δ' οὖν σελάων τοίοις ζώοισιν ἐόντων
καὶ Θοῦρος πυρόεις καὶ καλλίκομος Κυθέρεια
ἄρσεσι δεικήλοισιν ἐπεμβεβαῶτες ὁρῷντο,
καὶ ζῶον πρὸς τοῖς ἄρσεν πέλοι ὡρονόμοιο,
ἧς φύσιος λήγουσι, παρὰ λεχέεσσι γυναικῶν
κλινόμεναι φιλότητι, τάτ' ἀνέρες ἐκτελέουσιν.
ἔμπαλι θηλυτέροισι δ' ὅτ' ἀνέρες ἐν ζώοισιν
ἴσχωσ' Ἠέλιον καὶ νυκτεροφεγγέα Μήνην,
θῆλυ δὲ καὶ ζῶον κατέχῃ Κυλλήνιος Ἑρμῆς,
πάσχουσ' αἴσχεα πολλὰ γυναικῶν ἔργα τελοῦντες·
δηθάκι καὶ σπορίμης αἰδοῦς ἀπὸ μήδε' ἔκειραν.
τὼς μὲν ἄρ' αἰνὰ πέλει φύσιος βροτέης κατέναντα
φῶτ' ἐνὶ δεικήλοισιν ἑὸν δρόμον ἐξανύοντα.
Ἀλλ' ἐπεὶ οὖν μοι θυμὸς ἐνὶ προτέροισιν ἀεῖσαι,

μήσατ' ἀναγκαῖον χρεῖος, σάφα νῦν καταλέξω,
ὁππόθεν ἐν γενέθλῃσι χρεὼν ζωῆς χρόνου ἀρχὴν
ἀνθρώποις φράζεσθ' ἠδ' ἔμπαλιν, ὁππόθι λήγει.
οὐ μὲν δὴ πάντεσσιν ὁμῶς μερόπεσσιν ἔοικεν
οἵης ἐκ χώρης ἐτέων λάζυσθαι ἀριθμόν·
ἄλλη γάρ θ' ἑτέρῃ γενέθλῃ ἄφεσις συνάρηρεν.
ὅσσοις μὲν Τιτὰν ἠοῖ ἔνι γεινομένοισιν
κέντρῳ ἐπεμβεβαὼς ἰνδάλλεται, ἐξ ἄρα κείνου
μοίρης ἄρχεσθαι βιότου χρόνον ἐξαριθμοῦντας·
νυκτερινῇ γενέθλῃ δὲ Σεληναίης ἀπὸ μοίρης.
ὁππότε δ' ἂν κέντρων ἐκτὸς δύο φῶτ' ἀποκλινθῇ,
ἠδ' ἄρ' ἐπὶ μοίρῃσι κατωφερέεσσι πόλοιο
νίσσηται προθέοντα, τότ' ἀστέρος ἄρχεο κείνου,
ὅς ῥά τε δεσπόζει γενέθλης μέγα τε κράτος ἴσχει.
εἰ δ' ἄρα κἀκεῖνον λεύσσοις κλινθέντ' ἀπὸ κέντρου,
ἐξ ὥρης τότ' ἔπειτα χρόνων ἄφεσιν σύ γε φράζου.
ζωῆς δ' αὖτ' ἀρχὴν εὖτ' ἂν διζήμενος εὕρῃς,
δεικήλων σκέπτοιο χρόνους, ὁπόσοις περάτηθεν
ἀντέλλει, κείνων τε περὶ μοιρῶν δεδάασθαι·
τὼς γὰρ πλειώνων ἀριθμὸν μοίρῃσι φράσαιο,
ὅσσους Μοῖρ' ἐπέδησε βροτῶν μογεροῦ βιότοιο.
ἐν δὲ μέσαις μοίρῃσιν, ἐφ' αἷς ζωὴ νέμετ' ἀνδρῶν,
ἐνδυκέως σκέπτοιο, μὴ ἀκτὶς ἢ τετράγωνος
ἠὲ καταντικέρην ὀλοοῦ Κρόνου ἢ Πυρόεντος,
ἢ αὖ τοίγε συναντόμενοι ζωὴν διέκερσαν.
νυκτὶ δὲ γεινομένους καὶ παμφεγγὴς Ὑπερίων

*δηθάκις ἀκτίνεσσιν ἑαῖς πνοιῆς ἀπάμερσεν.*
*πᾶσαν δ' αὖτ' ἄφεσιν πλευρὴ τ ε τ ρ ά γ ω ν ο ς ὁρίζει·*
*μήκιστον γὰρ τοῦτο βροτῶν τέλος εὔαδε Μοίραις.*

---

## ΒΙΒΛΙΟΝ. ϛ. [Γ.]

*Ἐν ᾧ φησιν·*

*Α. Περὶ τροφῆς καὶ ἀτροφίας παίδων.*
*Β. Περὶ γάμου.*
*Γ. Περὶ τέκνων γονῆς.*
*Δ. Περὶ στείρων καὶ ἀσπέρμων.*
*Ε. Περὶ πλήθους τέκνων ἢ καὶ ὀλιγοπαιδίας.*
*ϛ. Περὶ τοῦ ποίας τέχνας ἢ ποίας πράξεις μετελεύσεται ὁ τεχθείς.*
*Ζ. Περὶ σίνους.*
*Η. Περὶ κτήσεως.*
*Θ. Περὶ δουλείας τύχης.*

---

*Ἐλθέ μοι, ὡς προτέρην λιγέως ἥρμοσσας ἀοιδήν,*
*Μοῦσα φίλη, καὶ Φοῖβε καὶ Ἑρμῆ χρυσοπέδιλε,*
*καὶ νῦν ἱμερόεν τέκμωρ θείητ' ἐπὶ μολπῇ·*
*αὐτὰρ ἐγὼ θυμὸν καίπερ καμάτῳ μογέοντα*
*ὀτρυνέω, μέχρις ἄν κ' ἐπὶ πείρατα νίσσομαι οἴμης·*
*πᾶν γὰρ ἀεικέλιον, τῷ μὴ τέλος ἐσθλὸν ὀπηδεῖ.*
*βίβλῳ δ' ἐν πυμάτῃ τάδε μοι κατανεύσατ' ἀεῖσαι,*
*ἀμφὶ τ ρ ο φ ῆ ς βρεφέων ἠδ' ἀ τ ρ ο φ ί η ς ἀλεγεινῆς,*
*ὅσσα τ' ἐπειγόμενοι Μοίρης ὕπο χερσὶν ἔῃσιν*
*αὐτοὶ ἐπ' οὐλόμενον πότμον ῥίψαντο γονῆες,*
*ἀμφὶ γ ά μ ω ν τ' ἐρατῶν καὶ ἀ δ ε λ φ ε ι ῶ ν ἐνέποιτε*

καὶ τέκνων γενεῆς, σινέεσσί τε τοῖσιν ἕκαστος
ἀνθρώπων μεμόρηται ὑπ' ἀστράσι κινυμένοισιν,
καὶ τέχνας μέλποιτ' ἰδὲ πρήξιας, ἔργα θ' ὁποῖα
ἀστέρες ἀνθρώποισι δυηπαθέεσσι νέμουσιν,
ἠδ' ὡς σφαλλόμενοι πολυχρήμονος ἐκ βιότοιο
ἀνέρες ἐν πενίῃ τε καὶ ἄλγεσι μοχθίζουσιν,
καὶ δμώων ὅπως τις ἐπιφράσσαιτο γενέθλην.
Κείνοις μὲν δὴ πρῶτα τροφῆς ἐμέγηρε βρέφεσσιν
Αἶσα κακή, τοῖσπέρ τ' ἀπὸ γαστέρος ὀρνυμένοισιν
Ἄρης καὶ Φαίνων ὑπὲρ ὡρονόμοιο βεβῶτες
λεύσσουσ' ἐς δύσιν ἑλκομένην ἐριφεγγέα Μήνην,
μήτε Σεληναίην μήτ' οὖν ὥρην καθορώντων
Φωσφόρου ἢ Ζηνός· τοὶ γὰρ βίου εἰσὶ δοτῆρες.
ὣς δ' αὔτως ἀτροφεῖς καὶ ὅσοις ἔπι γεινομένοισιν
ὡρονόμον διέπει Φαίνων, δῦνον δέ τε κέντρον
Ἄρης, μήθ' ὥρης ζῷον μήτ' οὖν φάος ἁγνὸν
Μήνης δερκομένου Ζηνὸς φυσιζόῳ αἴγλῃ.
καὶ δὲ καί, ὁππότ' ἂν ἠύκερων Πυρόεις διάμετρος
ἀκτῖσιν Μήνην καθορᾷ, Φαίνων δὲ Σελήνῃ
δεξιτερὴν ἵστηται ἐπὶ πλευρὴν τετράγωνος
ἀντολίην ἀπέχων τηλοῦ Ὑπερίονος αἴγλης,
δὴ τότ' ἀπ' ὠδίνων καὶ γαστέρος ἐκπροθορόντες
αὐτίκ' ἄρ' οἰωνοῖσιν ἕλωρ καὶ θηρσὶ γένοντο.
ἢν δὲ Σεληναίη μὲν ἐφ' ὡρονόμῳ ἐπιτέλλῃ,
ἐν προτέρῳ δ' ὥρης ζῴῳ Φαίνων προθέῃσιν,
δαίμονα τόντε κακὸν πρότεροι φῶτες καλέσαντο,
Ἄρης δ' αὖτ' ἐφέπηθ' ὥρης κατόπισθε διώκων,
μήτ' οὖν Ἀφρογενοῦς μήτ' εὐφεγγοῦς Φαέθοντος
δερκομένων δείκηλον, ἐφ' ᾧ Μήνη καθορᾶται,

*δὴ τόθ' ὑπ' ὠδίνεσσι βρέφη θλιφθέντ' ὀλοῇσιν*
*νηδύος ἐξέλκουσι διαμελεϊστὶ ταμόντες.*
*εἰ δ' ἄρα καὶ δίχα κέντρου ἔοι ζώοισιν ἐπ' ἄλλοις*
*τὼς Μήνη κερόεσσα, τόσον τεχθὲν χρόνον ἠῶ*
*ἀθρήσει, μέχρις ἂν κε Σεληναίη ἀφίκηται.*
*εἰ δ' ἄρ' ὑπὲρ κέντροιο Σεληναίη βεβαυῖα*
*τὴν αὐτὴν ἐπέχῃ μοῖραν πολεμοκλόνῳ Ἄρῃ,*
*ἢ ζῶον κατὰ ταὐτὸν ἢ ἀντικέρηθεν ἰόντι,*
*αὐτίκα δὴ πρώτῃσιν ὑπ' ὠδίνεσσιν ὄλισθον*
*μητέρος ἄγχι ποδοῖιν ἐπ' ὀξέα κεκληγυίης.*
*ἢν δὲ γονῆς ἀγαθοὶ τελέθωσ' ἐπιμάρτυροι ὥρῃ,*
*ἔκθετον ἐκ μεγάρου τοκέων βρέφος εὐθὺς ἐτύχθη·*
*κἢν μὲν Ζεὺς Μήνην σφετέραις ἀκτῖσιν ἀθρήσῃ,*
*ἀνήρ, ὅς μιν ἀνείλεθ', ἑὸν ποιήσατο παῖδα,*
*ἢ ἑτέρῳ δῶκεν τεκέων τητωμένῳ ἀνδρί,*
*ὅς θέμενος μεγάροις ἶσον γονίμοισι τίεσκεν.*
*ἢν δ' ὀλοὸς Φαίνων λεύσσῃ περιφεγγέα Μήνην,*
*ῥιφθὲν ἀπὸ λεχέων, ἑτέρου δ' ὑπὸ χείρεσι θρεφθὲν*
*ἀτμενίης δούλειον ὑπὸ ζυγὸν αἶν' ἀνέτλησεν.*
*καὶ δὲ Κρόνου περάτηθεν ἀθρειομένου ὑπὲρ ὥρης,*
*δαίμονι δ' ἐν λυγρῷ Μήνης προπάροιθεν ἐούσης,*
*καὶ κέντρου Τιτῆνος ἀποκλινέος τελέθοντος,*
*ζωὴν μέν τ' ἴσχουσ', ἀτὰρ ἔκθετοι ἐκ πατρὸς οἴκων.*
*ὁππότε δ' αὖ Μήνης μὲν ἔχῃ συναφὴν Κρόνος αἰνός,*
*ἀντιπέρην δ' αὐτοῦ Πυρόεις αὐγῇσι βάλῃσιν,*
*μηδ' ὅσσον Μήνην ἐπιδερκομένου Φαέθοντος,*
*ῥιφθέντες χώρης τηλοῦ κατ' ἐρημάδος οἰκτρῶς*
*δουλοσύνης θρεφθέντες ὀιζυρῆς ἀνέχονται.*
*εἰ δὲ καθ' ὡρονόμου μὲν ἔοι βεβαυῖα Σελήνη,*
*τῇ δ' ἄρ' ἐπαντέλλῃ Ζεὺς ἑσπόμενος κατόπισθεν,*

Μήνην δ' ἀκτῖσιν Φαίνων κατεναντία λεύσσῃ,
καὶ Πυρόεις ἑτέρωθεν ἄνω κέντρον καθορῴη,
ἐς τόσσον ῥιφθὲν μίμνει χρόνον, εἰσόκε Μήνη
ἐκπροφυγοῦσ' ὀλοῶν αὐγὰς Φαέθοντι συνάψῃ.
ὥρης δ' αὖ Τιτῆνος ὑπὲρ βροτέης τροχάοντος
αἰνοῦ τ' ἐς δύσιν ἑλκομένου κατέναντα Κρόνοιο,
καὶ δὲ Σεληναίης μετ' ἀριγνώτου Φαέθοντος
δεἰκηλον κατὰ ταὐτὸ καὶ οὐκ ἰσόμοιρα θεούσης,
ἐξόπιθεν δ' Ἄρεος σπομένου συναφήν τε Σελήνης
δεχνυμένου, βρέφος ἐς τόσσον πατρώιον οἶκον
μίμνει, μέχρι κε Μήνη ἐπ' Ἄρεα θοῦρον ἵκηται.
εἰ δὲ δύω σελάων κέντρων ὕπερ ἑστηώτων,
Ἡελίου μὲν ἐφ' ὡρονόμῳ, δυτικῷ δὲ Σελήνης,
ἢ κείνης μὲν ἐφ' ὥρῃ, ἀτὰρ Τιτῆνος ἔναντα,
τῷ μὲν δὴ Φαίνων, τῇ δ' αὖ Πυρόεις συνέπηται,
ἢ τῶν μὲν τροχάῃ τις ὁμοῦ ἑτέρῳ, ὁ δὲ κέντρῳ
ἄλλῳ ἐπεμβεβαὼς λεύσσῃ κείνους ἀνιόντας,
ἧσιν ὑπαὶ παλάμαις τεχθὲν ῥίπτουσι τοκῆες.
ἢν δ' Ἄρης περάτηθεν ἀνέρχητ', αὐτὰρ ἐπ' αὐτῷ
Φαίνων, ἢ ἑτέροισιν ὅγ' αὖ κέντροισιν ἕπηται,
Μήνη δ' ἔκτοσθεν κέντρων σὺν Ζηνὶ φέρηται,
βαιὸν δὴ τότε χάρμα βροτοῖς τεύχει περὶ τέκνων·
τόσσον γὰρ λεύσσει τεχθὲν χρόνον ἄμβροτον ἠῶ,
Μήνη μέχρι θέουσα παραΐξῃ Φαέθοντα.
ναὶ μὴν καὶ σέλας Ἠελίου Μήνην τε καὶ ὥρην
ὁππότ' ἂν ἐσθλοδόται μὲν ἀποστρεφθέντες ἴωσιν,
οἱ δ' ὀλοοὶ λεύσσωσι, τότ' ἔκθετα τέκνα γονῆες
ῥίπτουσ' ἐς βαθὺ κῦμα βορήν τ' ἔμεν οἰωνοῖσιν.
ἔμπαλι δ' ἀρητοὶ παῖδες τοκέεσσι γένοντο
εὐτραφέες θ', ὁπόσοισιν ἀπ' ὠδίνων προθοροῦσιν
ἀστέρες ἐσθλοδόται ζωῆς δωτῆρες ἔασιν,
ἤτοι ὑπὲρ κέντρων καὶ ὁμοῦ Μήνῃ βεβαῶτες,

*ἢ σελάεσσ' ἐπιδερκόμενοι Μήνην τε καὶ ὥρην,*
*ἢ κέντρων κατόπισθεν ἐπ' ἀμφοτέρῃσιν ἐόντων*
*Φαίνοντος καὶ Ἄρηος, ἀπόστροφον ἀκτίνεσσιν*
*βαινόντων σελάων τε καὶ ὥρης, ἠέ θ' ἑοῖσιν*
*σύμφωνον δρόμον ἐν ζώοις φίλιόν τ' ἀνυόντων.*
*παισὶν δ' αὖ πᾶσιν, τοῖσιν ζωὴν πόρε Μοῖρα,*
*ἀμφὶ τροφῆς μαζοῦ καὶ νηπιέης ἀλεγεινῆς*
*ζῶον σημαίνει, τό κε δὴ Μήνης πέλας εἴη,*
*ᾧ ἔνι δὴ κείνη τριτάτην ἐπινίσσεται ἠῶ.*
*Τόσσα μὲν ἀμφὶ τροφῆς παίδων, πολέων ἄπο βαιά,*
*ἤεισ'· ἑξείης δὲ γάμου πέρι νῦν ἐνέποιμι,*
*ἀστέρες οἷον ἕκαστος ἀεὶ φαίνουσι κελεύθοις.*
*εὖτ' ἂν γεινομένοιο βροτοῦ Μήνη μὲν ἐπείη*
*αἰπυτάτῳ κέντρῳ, Κυθέρη δ' ὑπόγειος ὁρῆται,*
*τῆμος ὁμογνήτοις γενεῆς τ' ἄγχιστα συνεύνοις*
*ζεύγνυνται, πολέσιν δ' ὁμογάστριοι ἐς λέχος ἦλθον*
*νύμφαι. τοῦτο δὲ δρῶσι, καὶ ὁππόταν Ἀφρογενείη*
*Ἑρμείῃ τε θοῷ ξυνὴν ὁδὸν ἐξανύωσιν*
* * * * * *
*ἀκτῖσι σφετέραις, Φαίνων δ' ἐπιμάρτυρος εἴη.*
*ἢν δὲ πέλῃ ἰσόμοιρος ἀριγνώτῳ Φαέθοντι,*
* * * * * *
*δείκηλον κατὰ ταὐτὸν ἴῃ, γάμος ἔπλετο τῆμος*
*παρθενικῆς. ἶσον δὲ καὶ εἰ Ζεὺς μαρτυρίῃσιν*
*Ἑρμείην λεύσσῃ πλευρὴν ἰσόμοιρον ὁδεύων.*
*Ἀφρογενὴς δὲ μεσουρανίου κλίνασ' ἀπὸ κέντρου*
*καὶ δισσοῖς σελάεσσιν ἀπόστροφον οἶμον ἰοῦσα*
*ἀστασίας τεύχει ταραχήν τε γάμοις μετ' ἀνίης.*
*Φαίνων δ' Ἑρμείῃ τε συνὼν βλοσυρῇ τε Κυθήρῃ*

ἤτοι ἐπ' οὐτιδαναῖς ἢ ἀνάξια μαχλοσύνῃσιν
ἔργα μετερχομέναις ξυγίοις ἡρμόσσατο λέκτροις,
πάμπαν θ' ἡλικίῃσι νέαις ἢ πάγχυ γεραιαῖς.
ἐσθλὴν δ' αὖ φιλότητα γάμου πίστιν τε γυναικῶν
ἀχράντοιο λέχους δῶκεν καλὴ Κυθέρεια,
εὖτ' ἂν ἀπ' ἀκτίνων Ἄρεος πολιοῦ τε Κρόνοιο
μίμνῃ ἀπήμαντος, κείνων φλογέῃσιν ὑπ' αὐγαῖς
ἀλλήλους ἐπιδερκομένων, αὐτὴ δ' ἀγανῇσιν
δέρκηται κερόεσσαν ὑπ' ἀκτίνεσσι Σελήνην.
ὁππότε δ' Ἑρμείης τε καὶ Ἄρης καὶ Κυθέρεια
μέσσου ὑπὲρ κέντρου ξυνὰς ἀνύωσι κελεύθους,
τοῖσιν δ' αὖτ' ὀλοὸς Φαίνων μετόπισθεν ἕπηται
νωθρὸν ἐπαντέλλων ἢ καὶ κατέναντα δοκεύων,
ἐξ ἕδρης πιναροῖο τέγους ξυνῆς τ' ἀπὸ δήμου
εὐνῆς ἀνστήσαντες ἄγοντ' ἐς δώματα νύμφας,
κῖσα πολυμνήστῃσιν ἀεὶ τίουσ' ἀλόχοισιν.
ἢν δὲ δύω μὲν φῶτα μέσου κλίνωσ' ἀπ' Ὀλύμπου,
πάντες δ' ἀστέρες ἄλλοι ὑποχθόνιοι φορέωνται
ἔκτοσθεν κέντρων, τῆμος ξείνης ἀπὸ γαίης
ἄξεται ἀλλοτρίων φωτῶν ἀγνῶτα θύγατρα,
καὶ πάτρης ἄπο τηλοῦ ὁμῶς κείνῃ βιοτεύσει.
οἷς δ' ἄρ' ὕπερθ' ὥρης χαλεπῷ ἐν δαίμονι καλὴ
Ἀφρογενὴς φαίνῃ, τὴν δ' αὖ Κρόνος ἢ τετράγωνος
ἠὲ καταντιπέρην λεύσσῃ, κἢν λέκτρα πόρωσιν
* * * * * *
θηλυτέροις δ' εὖτ' ἂν Κύπρις κεραή τε Σελήνη
ζῴοισιν λάμπωσ', ἤτοι δυτικοῦ κατὰ κέντρου,
ἢ καὶ ὑποχθονίου, ἢ καὶ δύο κέντρ' ἐφέπωσιν,
μουνὰξ δ' ἀμφότεροι κατεναντία τῇσιν ὁρῶνται,

τῇ μὲν Ἄρης, τῇ δ' αὖτε Κρόνος, τόθ' ἑαῖς πανάθεσμοι
θυγατράσιν πατέρες ξυνὸν λέχος εἰσανέβησαν.
ναὶ μὴν καὶ Κρόνου εὖτ' ἂν ἐν οἴκοισιν Κυθέρεια
φαίνηται σὺν Ζηνί, Κρόνου κατόπισθεν ἰόντος,
